not about the lads for-us the speech would-be Socrates
παρόντος, ἀλλὰ περὶ ἡμῶν αὐτῶν. ὅπερ οὖν λέγω, τὸ
being-present but about us ourselves what-very then I-say the
μὲν ἐμὸν οὐδὲν κωλύει Σωκράτει συνδιατρίβειν ὅπως οὗτος
indeed mine nothing hinders with-Socrates to-spend-time as this-one
βούλεται· Λάχητα δὲ τόνδε ὅρα ὅπως ἔχει περὶ τοῦ τοιούτου.
wishes Laches but here see how he-is about the such
d LACH. ἁπλοῦν τό γ' ἐμόν, ὦ Νικία, περὶ λόγων ἐστίν, εἰ
simple the at-least mine O Nicias about speeches is if
δὲ βούλει, οὐχ ἁπλοῦν ἀλλὰ διπλοῦν· καὶ γὰρ ἂν δόξαιμί
but you-wish not simple but double and for — I-might-seem
τῳ φιλόλογος εἶναι καὶ αὖ μισόλογος. ὅταν μὲν
to-someone a-lover-of-speeches to-be and again a-hater-of-speeches whenever indeed
γὰρ ἀκούω ἀνδρὸς περὶ ἀρετῆς διαλεγομένου ἢ περί τινος
for I-hear a-man about virtue conversing or about some
σοφίας ὡς ἀληθῶς ὄντος ἀνδρὸς καὶ ἀξίου τῶν λόγων ὧν
wisdom as truly being a-man and worthy of-the speeches which
λέγει, χαίρω ὑπερφυῶς, θεώμενος ἅμα τόν τε λέγοντα καὶ
he-speaks I-rejoice exceedingly beholding at-once the both speaker and

τὰ λεγόμενα ὅτι πρέποντα ἀλλήλοις καὶ ἁρμόττοντά ἐστι.
the things-said that fitting to-one-another and harmonizing are
καὶ κομιδῇ μοι δοκεῖ μουσικὸς ὁ τοιοῦτος εἶναι, ἁρμονίαν
and altogether to-me seems musical the such to-be harmony
καλλίστην ἡρμοσμένος οὐ λύραν οὐδὲ παιδιᾶς ὄργανα, ἀλλὰ
finest having-tuned not lyre nor of-play instruments but
τῷ ὄντι αὐτὸς αὑτοῦ τὸν βίον σύμφωνον τοῖς λόγοις πρὸς
in-the reality himself of-himself the life concordant with-the words toward
τὰ ἔργα, ἀτεχνῶς δωριστὶ ἀλλ᾽ οὐκ ἰαστί, οἶομαι δὲ οὐδὲ
the deeds simply in-Dorian but not in-Ionian I-think and nor
φρυγιστὶ οὐδὲ λυδιστί, ἀλλ᾽ ἥπερ μόνη Ἑλληνική ἐστιν
in-Phrygian nor in-Lydian but which-very alone Greek is
ἁρμονία. ὁ μὲν οὖν τοιοῦτος χαίρειν με ποιεῖ φθεγγόμενος
harmony the indeed then such to-rejoice me makes uttering
καὶ δοκεῖν ὁτῳοῦν φιλόλογον εἶναι — οὕτω σφόδρα
and to-seem to-anyone-whatever a-lover-of-speeches to-be so greatly
ἀποδέχομαι παρ᾽ αὐτοῦ τὰ λεγόμενα — ὁ δὲ τἀναντία
I-accept from him the things-said the but the-opposite
τούτου πράττων λυπεῖ με, ὅσῳ ἂν δοκῇ ἄμεινον λέγειν,
of-this doing pains me by-how-much — he-seems better to-speak
τοσούτῳ μᾶλλον, καὶ ποιεῖ αὖ δοκεῖν εἶναι μισόλογον.
by-so-much more and makes again to-seem to-be a-hater-of-speeches
Σωκράτους δ᾽ ἐγὼ τῶν μὲν λόγων οὐκ ἔμπειρός εἰμι, ἀλλὰ 189
of-Socrates and I the indeed words not experienced am but
πρότερον, ὡς ἔοικε, τῶν ἔργων ἐπειράθην, καὶ ἐκεῖ αὐτὸν
before as it-seems the deeds I-tried and there him
ηὗρον ἄξιον ὄντα λόγων καλῶν καὶ πάσης παρρησίας. εἰ
I-found worthy being of-words fine and of-all frankness if
οὖν καὶ τοῦτο ἔχει, συμβούλομαι τἀνδρί, καὶ ἥδιστ᾽ ἂν
then also this he-has I-wish-with the-man and most-gladly —
ἐξεταζοίμην ὑπὸ τοῦ τοιούτου, καὶ οὐκ ἂν ἀχθοίμην
I-would-be-examined by the such and not — I-would-be-vexed

μανθάνων, ἀλλὰ καὶ ἐγὼ τῷ Σόλωνι, ἓν μόνον προσλαβών,
learning but also I — with-Solon one only having-added
συγχωρῶ· γηράσκων γὰρ πολλὰ διδάσκεσθαι ἐθέλω ὑπὸ
agree growing-old for many-things to-be-taught I-wish by
χρηστῶν μόνον. τοῦτο γάρ μοι συγχωρείτω, ἀγαθὸν καὶ
good-men only this for to-me let-him-grant good also
αὐτὸν εἶναι τὸν διδάσκαλον, ἵνα μὴ δυσμαθὴς φαίνωμαι
himself to-be the teacher so-that not slow-to-learn I-appear
ἀηδῶς μανθάνων· εἰ δὲ νεώτερος ὁ διδάσκων ἔσται ἢ
unpleasantly learning if and younger the(-one) teaching will-be or
μήπω ἐν δόξῃ ὢν ἤ τι ἄλλο τῶν τοιούτων ἔχων, οὐδέν
not-yet in repute being or anything other of-the such-things having nothing
μοι μέλει. σοὶ οὖν, ὦ Σώκρατες, ἐγὼ ἐπαγγέλλομαι καὶ
to-me matters to-you then O Socrates I offer both
διδάσκειν καὶ ἐλέγχειν ἐμὲ ὅτι ἂν βούλῃ, καὶ μανθάνειν
to-teach and to-refute me whatever — you-wish and to-learn
γε ὅτι αὖ ἐγὼ οἶδα· οὕτω σὺ παρ᾽ ἐμοὶ διάκεισαι
at-least whatever again I know so you with me are-disposed
ἀπ᾽ ἐκείνης τῆς ἡμέρας ἧ μετ᾽ ἐμοῦ συνδιεκινδύνευσας
from that the day on-which with me you-shared-the-danger
καὶ ἔδωκας σαυτοῦ πεῖραν ἀρετῆς ἣν χρὴ διδόναι
and gave of-yourself proof of-virtue which it-is-needful to-give
τὸν μέλλοντα δικαίως δώσειν. λέγ᾽ οὖν ὅτι σοι
the(-one) about-to justly to-give speak then whatever to-you
φίλον, μηδὲν τὴν ἡμετέραν ἡλικίαν ὑπόλογον ποιούμενος.
dear nothing the our age into-account making
c SOC. οὐ τὰ ὑμέτερα, ὡς ἔοικεν, αἰτιασόμεθα μὴ οὐχ ἕτοιμα
not the yours as it-seems we-will-blame lest not ready
εἶναι καὶ συμβουλεύειν καὶ συσκοπεῖν.
to-be both to-advise and to-consider-together

LYS. ἀλλ᾽ ἡμέτερον δὴ ἔργον, ὦ Σώκρατες — ἕνα γάρ d
but ours indeed task O Socrates one for
σε ἔγωγε ἡμῶν τίθημι — σκόπει οὖν ἀντ᾽ ἐμοῦ ὑπὲρ
you I-at-least of-us I-set consider then instead-of me on-behalf-of
τῶν νεανίσκων ὅτι δεόμεθα παρὰ τῶνδε πυνθάνεσθαι,
the young-men what we-need from these to-inquire
καὶ συμβούλευε διαλεγόμενος τούτοις. ἐγὼ μὲν γὰρ καὶ
and advise conversing with-these I indeed for also
ἐπιλανθάνομαι ἤδη τὰ πολλὰ διὰ τὴν ἡλικίαν ὧν
forget already the many-things because-of the age which
ἂν διανοηθῶ ἐρέσθαι καὶ αὖ ἃ ἂν ἀκούσω· ἐὰν δὲ
— I-intend to-ask and again what — I-hear if and
μεταξὺ ἄλλοι λόγοι γένωνται, οὐ πάνυ μέμνημαι. ὑμεῖς
in-between other speeches arise not very I-remember you
οὖν λέγετε καὶ διέξιτε πρὸς ὑμᾶς αὐτοὺς περὶ ὧν
then speak and go-through toward you yourselves about what-things
προυθέμεθα· ἐγὼ δ᾽ ἀκούσομαι καὶ ἀκούσας αὖ μετὰ
we-proposed I and will-listen and having-heard again with
Μελησίου τοῦδε ποιήσω τοῦτο ὅτι ἂν καὶ ὑμῖν δοκῇ.
Melesias here I-will-do this whatever — also to-you seems

V · COURAGE AS STANDING FIRM

Socrates proposes a deeper inquiry: to advise on making the young good one must know what improves them, virtue, and he proposes to examine a part of it, courage, which the art of fighting in armor seems to serve. Laches answers that a man is brave who stays in the ranks and does not flee. Socrates objects that the Scythians fight in flight, Homer praises Aeneas' horses for fleeing, and the Spartans at Plataea won by retreating and turning back. He asks what courage is, the same in infantry and cavalry, at sea, in disease and poverty, and against pains, fears, desires, and pleasures.

e soc. πειστέον, ὦ Νικία τε καὶ Λάχης, Λυσιμάχῳ καὶ
must-obey O Nicias both and Laches Lysimachus and
Μελησίᾳ. ἃ μὲν οὖν νυνδὴ ἐπεχειρήσαμεν σκοπεῖν,
Melesias what-things indeed then just-now we-attempted to-consider
τίνες οἱ διδάσκαλοι ἡμῖν τῆς τοιαύτης παιδείας γεγόνασιν
who the teachers for-us of-the such education have-been
ἢ τίνας ἄλλους βελτίους πεποιήκαμεν, ἴσως μὲν οὐ κακῶς
or whom others better we-have-made perhaps indeed not badly
εἶχεν ἐξετάζειν καὶ τὰ τοιαῦτα ἡμᾶς αὐτούς· ἀλλ' οἶμαι
it-would-be to-examine also the such-things us ourselves but I-think
καὶ ἡ τοιάδε σκέψις εἰς ταὐτὸν φέρει, σχεδὸν δέ τι
also the such inquiry to the-same leads nearly and in-some-way
καὶ μᾶλλον ἐξ ἀρχῆς εἴη ἄν. εἰ γὰρ τυγχάνομεν
also more from beginning would-be — if for we-happen
ἐπιστάμενοι ὁτουοῦν πέρι ὅτι παραγενόμενόν τῳ
knowing of-anything-whatever about that being-present to-something
βέλτιον ποιεῖ ἐκεῖνο ᾧ παρεγένετο, καὶ προσέτι οἷοί τέ
better makes that to-which it-was-present and besides able —
ἐσμεν αὐτὸ ποιεῖν παραγίγνεσθαι ἐκείνῳ, δῆλον ὅτι αὐτό
we-are it to-make to-be-present to-that clear that itself
γε ἴσμεν τοῦτο οὗ πέρι σύμβουλοι ἂν γενοίμεθα ὡς
at-least we-know this about which counselors — we-might-become how
ἄν τις αὐτὸ ῥᾷστα καὶ ἄριστ' ἂν κτήσαιτο. ἴσως οὖν
— someone it most-easily and best — might-acquire perhaps then
οὐ μανθάνετέ μου ὅτι λέγω, ἀλλ' ὧδε ῥᾷον μαθήσεσθε.
not you-understand me what I-say but thus more-easily you-will-understand
190 εἰ τυγχάνομεν ἐπιστάμενοι ὅτι ὄψις παραγενομένη ὀφθαλμοῖς
if we-happen knowing that sight being-present to-eyes
βελτίους ποιεῖ ἐκείνους οἷς παρεγένετο, καὶ προσέτι οἷοί
better makes those to-which it-was-present and besides able
τ' ἐσμὲν ποιεῖν αὐτὴν παραγίγνεσθαι ὄμμασι, δῆλον ὅτι ὄψιν
— we-are to-make it to-be-present to-eyes clear that sight

γε ἴσμεν αὐτὴν ὅτι ποτ' ἔστιν, ἧς πέρι σύμβουλοι ἂν
at-least we-know itself what ever it-is of-which about counselors —
γενοίμεθα ὡς ἄν τις αὐτὴν ῥᾷστα καὶ ἄριστα κτήσαιτο.
might-we-become how — someone it most-easily and best might-acquire
εἰ γὰρ μηδ' αὐτὸ τοῦτο εἰδεῖμεν, ὅτι ποτ' ἔστιν ὄψις
if for not-even it this we-knew what ever is sight
ἢ ὅτι ἔστιν ἀκοή, σχολῇ ἂν σύμβουλοί γε ἄξιοι λόγου
or what is hearing hardly — counselors at-least worthy of-account
γενοίμεθα καὶ ἰατροὶ ἢ περὶ ὀφθαλμῶν ἢ περὶ ὤτων,
would-we-become and doctors either about eyes or about ears
ὅντινα τρόπον ἀκοὴν ἢ ὄψιν κάλλιστ' ἂν κτήσαιτό τις.
in-what way hearing or sight most-finely — might-acquire anyone

LACH. ἀληθῆ λέγεις, ὦ Σώκρατες.
true-things you-say O Socrates

SOC. οὐκοῦν, ὦ Λάχης, καὶ νῦν ἡμᾶς τώδε παρακαλεῖτον
therefore O Laches also now us these-two call
εἰς συμβουλήν, τίν' ἂν τρόπον τοῖς ὑέσιν αὐτῶν ἀρετὴ
to counsel in-what — way for-the sons of-them virtue
παραγενομένη ταῖς ψυχαῖς ἀμείνους ποιήσειε;
being-present to-the souls better would-make

LACH. πάνυ γε.
certainly at-least

SOC. ἆρ' οὖν ἡμῖν τοῦτό γ' ὑπάρχειν δεῖ, τὸ εἰδέναι c
so then for-us this at-least to-be-at-hand it-is-needful the to-know
ὅτι ποτ' ἔστιν ἀρετή; εἰ γάρ που μηδ' ἀρετὴν εἰδεῖμεν
what ever is virtue if for surely not-even virtue we-knew
τὸ παράπαν ὅτι ποτε τυγχάνει ὄν, τίν' ἂν τρόπον
— altogether what ever it-happens being in-what — way
τούτου σύμβουλοι γενοίμεθ' ἂν ὁτῳοῦν, ὅπως ἂν
of-this counselors would-we-become — for-anyone-whatever how —
αὐτὸ κάλλιστα κτήσαιτο;
it most-finely he-might-acquire

LACH. οὐδένα, ἔμοιγε δοκεῖ, ὦ Σώκρατες.
in-no-way to-me-at-least it-seems O Socrates

SOC. φαμὲν ἄρα, ὦ Λάχης, εἰδέναι αὐτὸ ὅτι ἔστιν.
we-say then O Laches to-know it what it-is

LACH. φαμὲν μέντοι.
we-say indeed

SOC. οὐκοῦν ὅ γε ἴσμεν, κἂν εἴποιμεν δήπου τί ἐστιν.
therefore what at-least we-know also we-could-say surely what it-is

LACH. πῶς γὰρ οὔ;
how for not

d SOC. μὴ τοίνυν, ὦ ἄριστε, περὶ ὅλης ἀρετῆς εὐθέως
not then O best about whole virtue straightaway
σκοπώμεθα — πλέον γὰρ ἴσως ἔργον — ἀλλὰ μέρους
let-us-consider more for perhaps task but a-part
τινὸς πέρι πρῶτον ἴδωμεν εἰ ἱκανῶς ἔχομεν πρὸς τὸ
some about first let-us-see if sufficiently we-are toward the
εἰδέναι· καὶ ἡμῖν, ὡς τὸ εἰκός, ῥᾴων ἡ σκέψις ἔσται.
to-know and for-us as the likely easier the inquiry will-be

LACH. ἀλλ᾽ οὕτω ποιῶμεν, ὦ Σώκρατες, ὡς σὺ βούλει.
but so let-us-do O Socrates as you wish

SOC. τί οὖν ἂν προελοίμεθα τῶν τῆς ἀρετῆς μερῶν; ἢ
which then — would-we-choose of-the of-the virtue parts or
δῆλον δὴ ὅτι τοῦτο εἰς ὃ τείνειν δοκεῖ ἡ ἐν τοῖς ὅπλοις
clear indeed that this to which to-tend seems the in the arms
μάθησις; δοκεῖ δέ που τοῖς πολλοῖς εἰς ἀνδρείαν. ἦ γάρ;
learning it-seems and surely to-the many to courage is-it-not for

LACH. καὶ μάλα δὴ οὕτω δοκεῖ.
and very indeed so it-seems

e SOC. τοῦτο τοίνυν πρῶτον ἐπιχειρήσωμεν, ὦ Λάχης, εἰπεῖν,
this then first let-us-attempt O Laches to-say
ἀνδρεία τί ποτ᾽ ἐστίν· ἔπειτα μετὰ τοῦτο σκεψόμεθα καὶ
courage what ever it-is then after this we-will-consider also

ὅτῳ ἂν τρόπῳ τοῖς νεανίσκοις παραγένοιτο, καθ' ὅσον
in-what — way to-the young-men it-might-be-present in so-far-as
οἷόν τε ἐξ ἐπιτηδευμάτων τε καὶ μαθημάτων παραγενέσθαι.
possible — from practices both and learnings to-be-present
ἀλλὰ πειρῶ εἰπεῖν ὃ λέγω, τί ἐστιν ἀνδρεία.
but try to-say what I-say what is courage
LACH. οὐ μὰ τὸν Δία, ὦ Σώκρατες, οὐ χαλεπὸν εἰπεῖν· εἰ
not by — Zeus O Socrates not hard to-say if
γάρ τις ἐθέλοι ἐν τῇ τάξει μένων ἀμύνεσθαι τοὺς
for anyone should-be-willing in the rank remaining to-ward-off the
πολεμίους καὶ μὴ φεύγοι, εὖ ἴσθι ὅτι ἀνδρεῖος ἂν εἴη.
enemies and not should-flee well know that brave — he-would-be
SOC. εὖ μὲν λέγεις, ὦ Λάχης· ἀλλ' ἴσως ἐγὼ αἴτιος,
well indeed you-speak O Laches but perhaps I responsible
οὐ σαφῶς εἰπών, τὸ σὲ ἀποκρίνασθαι μὴ τοῦτο ὃ
not clearly having-spoken for-the you to-answer not this which
διανοούμενος ἠρόμην, ἀλλ' ἕτερον.
intending I-asked but another
LACH. πῶς τοῦτο λέγεις, ὦ Σώκρατες;
how this do-you-mean O Socrates
SOC. ἐγὼ φράσω, ἐὰν οἷός τε γένωμαι. ἀνδρεῖός που οὗτος, 191
I will-explain if able — I-become brave surely this-one
ὃν καὶ σὺ λέγεις, ὃς ἂν ἐν τῇ τάξει μένων μάχηται
whom also you mean who — in the rank remaining fights
τοῖς πολεμίοις.
the enemies
LACH. ἐγὼ γοῦν φημι.
I at-any-rate say
SOC. καὶ γὰρ ἐγώ. ἀλλὰ τί αὖ ὅδε, ὃς ἂν φεύγων
and for I but what again this-one who — fleeing
μάχηται τοῖς πολεμίοις ἀλλὰ μὴ μένων;
fights the enemies but not remaining

LACH. πῶς φεύγων;
how fleeing

b SOC. ὥσπερ που καὶ Σκύθαι λέγονται οὐχ ἧττον φεύγοντες
as surely also Scythians are-said not less fleeing
ἢ διώκοντες μάχεσθαι, καὶ Ὅμηρός που ἐπαινῶν τοὺς
than pursuing to-fight and Homer somewhere praising the
τοῦ Αἰνείου ἵππους κραιπνὰ μάλ' ἔνθα καὶ ἔνθα ἔφη
— of-Aeneas horses swiftly very hither and thither said
αὐτοὺς ἐπίστασθαι διώκειν ἠδὲ φέβεσθαι· καὶ αὐτὸν τὸν
them to-know to-pursue and to-flee and himself —
Αἰνείαν κατὰ τοῦτ' ἐνεκωμίασε, κατὰ τὴν τοῦ φόβου
Aeneas for this he-praised for the of-the rout
ἐπιστήμην, καὶ εἶπεν αὐτὸν εἶναι μήστωρα φόβοιο.
knowledge and said him to-be deviser of-rout

LACH. καὶ καλῶς γε, ὦ Σώκρατες· περὶ ἁρμάτων γὰρ
and finely at-least O Socrates about chariots for
ἔλεγε. καὶ σὺ τὸ τῶν Σκυθῶν ἱππέων πέρι λέγεις· τὸ μὲν
he-spoke and you the of-the Scythian horsemen about speak the indeed
γὰρ ἱππικὸν οὕτω μάχεται, τὸ δὲ ὁπλιτικόν, ὡς ἐγὼ λέγω.
for cavalry so fights the but heavy-infantry as I say

c SOC. πλήν γ' ἴσως, ὦ Λάχης, τὸ Λακεδαιμονίων.
except at-least perhaps O Laches the of-Lacedaemonians
Λακεδαιμονίους γάρ φασιν ἐν Πλαταιαῖς, ἐπειδὴ πρὸς τοῖς
Lacedaemonians for they-say at Plataea when against the
γερροφόροις ἐγένοντο, οὐκ ἐθέλειν μένοντας πρὸς αὐτοὺς
wicker-shield-bearers they-came not to-be-willing remaining against them
μάχεσθαι, ἀλλὰ φεύγειν, ἐπειδὴ δ' ἐλύθησαν αἱ τάξεις
to-fight but to-flee when and were-broken the ranks
τῶν Περσῶν, ἀναστρεφομένους ὥσπερ ἱππέας μάχεσθαι
of-the Persians turning-back like horsemen to-fight
καὶ οὕτω νικῆσαι τὴν ἐκεῖ μάχην.
and so to-win the there battle

LACH. ἀληθῆ λέγεις.
true-things you-say

SOC. τοῦτο τοίνυν ὃ ἄρτι ἔλεγον, ὅτι ἐγὼ αἴτιος d
this then what just-now I-said that I responsible
μὴ καλῶς σε ἀποκρίνασθαι, ὅτι οὐ καλῶς ἠρόμην —
not finely you to-have-answered because not finely I-asked
βουλόμενος γάρ σου πυθέσθαι μὴ μόνον τοὺς ἐν τῷ
wishing for of-you to-learn not only those in the
ὁπλιτικῷ ἀνδρείους, ἀλλὰ καὶ τοὺς ἐν τῷ ἱππικῷ καὶ
heavy-infantry brave but also those in the cavalry and
ἐν σύμπαντι τῷ πολεμικῷ εἴδει, καὶ μὴ μόνον τοὺς ἐν
in all-together the warlike kind and not only those in
τῷ πολέμῳ, ἀλλὰ καὶ τοὺς ἐν τοῖς πρὸς τὴν θάλατταν
the war but also those in the toward the sea
κινδύνοις ἀνδρείους ὄντας, καὶ ὅσοι γε πρὸς νόσους
dangers brave being and as-many-as at-least toward diseases
καὶ ὅσοι πρὸς πενίας ἢ καὶ πρὸς τὰ πολιτικὰ ἀνδρεῖοί
and as-many-as toward poverties or also toward the political-affairs brave
εἰσιν, καὶ ἔτι αὖ μὴ μόνον ὅσοι πρὸς λύπας ἀνδρεῖοί
are and further again not only as-many-as toward pains brave
εἰσιν ἢ φόβους, ἀλλὰ καὶ πρὸς ἐπιθυμίας ἢ ἡδονὰς δεινοὶ
are or fears but also toward desires or pleasures formidable
μάχεσθαι, καὶ μένοντες καὶ ἀναστρέφοντες — εἰσὶ γάρ
to-fight both remaining and turning-back there-are for
πού τινες, ὦ Λάχης, καὶ ἐν τοῖς τοιούτοις ἀνδρεῖοι —
surely some O Laches also in the such-things brave
LACH. καὶ σφόδρα, ὦ Σώκρατες.
and very-much O Socrates
SOC. οὐκοῦν ἀνδρεῖοι μὲν πάντες οὗτοί εἰσιν, ἀλλ' οἱ
therefore brave indeed all these are but the-ones
μὲν ἐν ἡδοναῖς, οἱ δ' ἐν λύπαις, οἱ δ' ἐν
indeed in pleasures the-others and in pains the-others and in

ἐπιθυμίαις, οἱ δ' ἐν φόβοις τὴν ἀνδρείαν κέκτηνται·
desires the-others and in fears the courage have-acquired
οἱ δέ γ' οἶμαι δειλίαν ἐν τοῖς αὐτοῖς τούτοις.
the-others and at-least I-think cowardice in the same these-things

LACH. πάνυ γε.
certainly at-least

SOC. τί ποτε ὂν ἑκάτερον τούτων; τοῦτο ἐπυνθανόμην.
what ever being each of-these this I-was-inquiring
πάλιν οὖν πειρῶ εἰπεῖν ἀνδρείαν πρῶτον τί ὂν ἐν πᾶσι
again then try to-say courage first what being in all
τούτοις ταὐτόν ἐστιν· ἢ οὔπω καταμανθάνεις ὃ λέγω;
these the-same it-is or not-yet you-understand what I-mean

LACH. οὐ πάνυ τι.
not very at-all

VI · COURAGE AS ENDURANCE

Socrates gives a model: quickness is the power that does much in little time, in running or speaking or learning. Laches tries again: courage is endurance of the soul. But courage is fine, and foolish endurance is harmful, so courage must be wise endurance. Yet the man who endures in spending to gain more, the doctor who refuses a sick son food, are not brave; and the soldier who stands knowing help is coming seems less brave than his opponent, the horseman with skill less brave than the one without. So foolish endurance, called shameful before, now looks like courage, and their deeds and words are out of tune.

192 SOC. ἀλλ' ὧδε λέγω, ὥσπερ ἂν εἰ τάχος ἠρώτων τί
but thus I-mean as — if quickness I-were-asking what
ποτ' ἐστίν, ὃ καὶ ἐν τῷ τρέχειν τυγχάνει ὂν ἡμῖν καὶ
ever it-is which also in the running happens being for-us and
ἐν τῷ κιθαρίζειν καὶ ἐν τῷ λέγειν καὶ ἐν τῷ μανθάνειν
in the playing-the-lyre and in the speaking and in the learning

καὶ ἐν ἄλλοις πολλοῖς, καὶ σχεδόν τι αὐτὸ κεκτήμεθα,
and in others many and nearly somewhat it we-have
οὗ καὶ πέρι ἄξιον λέγειν, ἢ ἐν ταῖς τῶν χειρῶν
of-which also about worth to-speak either in the of-the hands
πράξεσιν ἢ σκελῶν ἢ στόματός τε καὶ φωνῆς ἢ διανοίας·
actions or of-legs or of-mouth both and of-voice or of-thought
ἢ οὐχ οὕτω καὶ σὺ λέγεις;
or not so also you say

LACH. πάνυ γε.
certainly at-least

SOC. εἰ τοίνυν τίς με ἔροιτο· "ὦ Σώκρατες, τί λέγεις b
if then anyone me should-ask O Socrates what do-you-mean
τοῦτο ὃ ἐν πᾶσιν ὀνομάζεις ταχυτῆτα εἶναι;" εἴποιμ᾽
this which in all you-name quickness to-be I-would-say
ἂν αὐτῷ ὅτι τὴν ἐν ὀλίγῳ χρόνῳ πολλὰ διαπραττομένην
— to-him that the in little time many-things accomplishing
δύναμιν ταχυτῆτα ἔγωγε καλῶ καὶ περὶ φωνὴν καὶ περὶ
power quickness I-at-least call both about voice and about
δρόμον καὶ περὶ τἆλλα πάντα.
running and about the-other-things all

LACH. ὀρθῶς γε σὺ λέγων.
rightly at-least you speaking

SOC. πειρῶ δὴ καὶ σύ, ὦ Λάχης, τὴν ἀνδρείαν οὕτως εἰπεῖν
try indeed also you O Laches the courage so to-say
τίς οὖσα δύναμις ἡ αὐτὴ ἐν ἡδονῇ καὶ ἐν λύπῃ καὶ ἐν ἅπασιν
what being power the same in pleasure and in pain and in all
οἷς νυνδὴ ἐλέγομεν αὐτὴν εἶναι, ἔπειτα ἀνδρεία κέκληται.
in-which just-now we-said it to-be then courage has-been-called

LACH. δοκεῖ τοίνυν μοι καρτερία τις εἶναι τῆς ψυχῆς, εἰ c
it-seems then to-me endurance some to-be of-the soul if
τό γε διὰ πάντων πεφυκὸς δεῖ εἰπεῖν.
the at-least through all being-by-nature it-is-needful to-say

SOC. ἀλλὰ μὴν δεῖ, εἴ γε τὸ ἐρωτώμενον ἀποκρινούμεθα
but indeed it-is-needful if at-least the thing-asked we-are-to-answer
ἡμῖν αὐτοῖς. τοῦτο τοίνυν ἔμοιγε φαίνεται· οὔτι πᾶσά
to-us ourselves this then to-me-at-least appears not all
γε, ὡς ἐγᾦμαι, καρτερία ἀνδρεία σοι φαίνεται.
at-least as I-think endurance courage to-you appears
τεκμαίρομαι δὲ ἐνθένδε· σχεδὸν γάρ τι οἶδα, ὦ Λάχης,
I-judge and from-here nearly for somewhat I-know O Laches
ὅτι τῶν πάνυ καλῶν πραγμάτων ἡγῇ σὺ ἀνδρείαν εἶναι.
that of-the very fine things consider you courage to-be
LACH. εὖ μὲν οὖν ἴσθι ὅτι τῶν καλλίστων.
well indeed then know that of-the finest
SOC. οὐκοῦν ἡ μὲν μετὰ φρονήσεως καρτερία καλὴ
therefore the indeed with prudence endurance fine
καὶἀγαθή;
and-good
LACH. πάνυ γε.
certainly at-least
d SOC. τί δ' ἡ μετ' ἀφροσύνης; οὐ τοὐναντίον ταύτῃ
what and the with folly not the-opposite to-this
βλαβερὰ καὶ κακοῦργος;
harmful and mischievous
LACH. ναί.
yes
SOC. καλὸν οὖν τι φήσεις σὺ εἶναι τὸ τοιοῦτον, ὃν
fine then anything will-say you to-be the such being
κακοῦργόν τε καὶ βλαβερόν;
mischievous both and harmful
LACH. οὔκουν δίκαιόν γε, ὦ Σώκρατες.
not-then just at-least O Socrates

SOC. οὐκ ἄρα τήν γε τοιαύτην καρτερίαν ἀνδρείαν
not then the at-least such endurance courage
ὁμολογήσεις εἶναι, ἐπειδήπερ οὐ καλή ἐστιν, ἡ δὲ ἀνδρεία
will-you-agree to-be since not fine it-is the but courage
καλόν ἐστιν.
fine is

LACH. ἀληθῆ λέγεις.
true-things you-say

SOC. ἡ φρόνιμος ἄρα καρτερία κατὰ τὸν σὸν λόγον
the prudent then endurance according-to the your argument
ἀνδρεία ἂν εἴη.
courage — would-be

LACH. ἔοικεν.
it-seems

SOC. ἴδωμεν δή, ἡ εἰς τί φρόνιμος; ἢ ἡ εἰς ἅπαντα e
let-us-see indeed the in what prudent or the in all
καὶ τὰ μεγάλα καὶ τὰ σμικρά; οἷον εἴ τις καρτερεῖ
both the great and the small as if anyone endures
ἀναλίσκων ἀργύριον φρονίμως, εἰδὼς ὅτι ἀναλώσας πλέον
spending silver prudently knowing that having-spent more
ἐκτήσεται, τοῦτον ἀνδρεῖον καλοῖς ἄν;
he-will-acquire this-one brave would-you-call —

LACH. μὰ Δί' οὐκ ἔγωγε.
by Zeus not I-at-least

SOC. ἀλλ' οἷον εἴ τις ἰατρὸς ὤν, περιπλευμονίᾳ τοῦ υἱέος 193
but as if someone doctor being with-pneumonia the son
ἐχομένου ἢ ἄλλου τινὸς καὶ δεομένου πιεῖν ἢ φαγεῖν
being-held or another someone and asking to-drink or to-eat
δοῦναι, μὴ κάμπτοιτο ἀλλὰ καρτεροῖ;
to-give not should-bend but should-endure

LACH. οὐδ' ὁπωστιοῦν οὐδ' αὕτη.
not in-any-way-whatever not-even this

SOC. ἀλλ᾽ ἐν πολέμῳ καρτεροῦντα ἄνδρα καὶ ἐθέλοντα
but in war enduring a-man and willing
μάχεσθαι, φρονίμως λογιζόμενον, εἰδότα μὲν ὅτι βοηθήσουσιν
to-fight prudently calculating knowing indeed that will-help
ἄλλοι αὐτῷ, πρὸς ἐλάττους δὲ καὶ φαυλοτέρους μαχεῖται
others him against fewer but and inferior he-will-fight
ἢ μεθ᾽ ὧν αὐτός ἐστιν, ἔτι δὲ χωρία ἔχει κρείττω,
than with whom himself he-is further and positions he-has stronger
τοῦτον τὸν μετὰ τῆς τοιαύτης φρονήσεως καὶ παρασκευῆς
this the with the such prudence and preparation
καρτεροῦντα ἀνδρειότερον ἂν φαίης ἢ τὸν ἐν τῷ
enduring braver — would-you-say than the in the
ἐναντίῳ στρατοπέδῳ ἐθέλοντα ὑπομένειν τε καὶ καρτερεῖν;
opposite camp willing to-stand-firm both and to-endure

b LACH. τὸν ἐν τῷ ἐναντίῳ, ἔμοιγε δοκεῖ, ὦ Σώκρατες.
the in the opposite to-me-at-least it-seems O Socrates

SOC. ἀλλὰ μὴν ἀφρονεστέρα γε ἡ τούτου ἢ ἡ τοῦ
but indeed more-foolish at-least the of-this-one than the of-the
ἑτέρου καρτερία.
other endurance

LACH. ἀληθῆ λέγεις.
true-things you-say

SOC. καὶ τὸν μετ᾽ ἐπιστήμης ἄρα ἱππικῆς καρτεροῦντα
and the-one with knowledge then of-horsemanship enduring
ἐν ἱππομαχίᾳ ἧττον φήσεις ἀνδρεῖον εἶναι ἢ τὸν ἄνευ
in cavalry-battle less will-you-say brave to-be than the without
ἐπιστήμης.
knowledge

LACH. ἔμοιγε δοκεῖ.
to-me-at-least it-seems

SOC. καὶ τὸν μετὰ σφενδονητικῆς ἢ τοξικῆς ἢ ἄλλης
and the-one with slinging or archery or other
τινὸς τέχνης καρτεροῦντα.
some art enduring
LACH. πάνυ γε. c
certainly at-least
SOC. καὶ ὅσοι ἂν ἐθέλωσιν εἰς φρέαρ καταβαίνοντες
and as-many-as — are-willing into a-well going-down
καὶ κολυμβῶντες καρτερεῖν ἐν τούτῳ τῷ ἔργῳ, μὴ ὄντες
and diving to-endure in this the work not being
δεινοί, ἢ ἔν τινι ἄλλῳ τοιούτῳ, ἀνδρειοτέρους φήσεις
skilled or in some other such braver will-you-say
τῶν ταῦτα δεινῶν.
than-those in-these-things skilled
LACH. τί γὰρ ἄν τις ἄλλο φαίη, ὦ Σώκρατες;
what for — anyone other could-say O Socrates
SOC. οὐδέν, εἴπερ οἴοιτό γε οὕτως.
nothing if-indeed he-should-think at-least so
LACH. ἀλλὰ μὴν οἶμαί γε.
but indeed I-think at-least
SOC. καὶ μήν που ἀφρονεστέρως γε, ὦ Λάχης, οἱ
and indeed surely more-foolishly at-least O Laches the
τοιοῦτοι κινδυνεύουσίν τε καὶ καρτεροῦσιν ἢ οἱ μετὰ
such run-risks both and endure than those with
τέχνης αὐτὸ πράττοντες.
art it doing
LACH. φαίνονται.
they-appear
SOC. οὐκοῦν αἰσχρὰ ἡ ἄφρων τόλμα τε καὶ καρτέρησις d
therefore shameful the foolish daring both and endurance
ἐν τῷ πρόσθεν ἐφάνη ἡμῖν οὖσα καὶ βλαβερά;
in the before appeared to-us being and harmful

LACH. πάνυ γε.
certainly at-least

SOC. ἡ δέ γε ἀνδρεία ὡμολογεῖτο καλόν τι εἶναι.
the but at-least courage was-agreed fine something to-be

LACH. ὡμολογεῖτο γάρ.
it-was-agreed for

SOC. νῦν δ' αὖ πάλιν φαμὲν ἐκεῖνο τὸ αἰσχρόν, τὴν
now and again back we-say that the shameful the
ἄφρονα καρτέρησιν, ἀνδρείαν εἶναι.
foolish endurance courage to-be

LACH. ἐοίκαμεν.
we-seem

SOC. καλῶς οὖν σοι δοκοῦμεν λέγειν;
finely then to-you do-we-seem to-speak

LACH. μὰ τὸν Δί', ὦ Σώκρατες, ἐμοὶ μὲν οὔ.
by — Zeus O Socrates to-me indeed not

e SOC. οὐκ ἄρα που κατὰ τὸν σὸν λόγον δωριστὶ
not then surely according-to the your argument in-Dorian
ἡρμόσμεθα ἐγώ τε καὶ σύ, ὦ Λάχης· τὰ γὰρ ἔργα οὐ
we-are-tuned I both and you O Laches the for deeds not
συμφωνεῖ ἡμῖν τοῖς λόγοις. ἔργῳ μὲν γάρ, ὡς ἔοικε,
agree for-us with-the words by-deed indeed for as it-seems
φαίη ἄν τις ἡμᾶς ἀνδρείας μετέχειν, λόγῳ δ', ὡς
would-say — anyone us in-courage to-partake in-word but as
ἐγῷμαι, οὐκ ἄν, εἰ νῦν ἡμῶν ἀκούσειε διαλεγομένων.
I-think not — if now us he-should-hear conversing

LACH. ἀληθέστατα λέγεις.
most-truly you-speak

SOC. τί οὖν; δοκεῖ καλὸν εἶναι οὕτως ἡμᾶς διακεῖσθαι;
what then does-it-seem fine to-be so us to-be-disposed

LACH. οὐδ' ὁπωστιοῦν.
not in-any-way-whatever

Socrates urges Laches to endure in the search so that courage itself does not laugh at them. They call in Nicias, who recalls Socrates' saying that each is good in what he is wise in, and defines courage as knowledge of what is terrible and what is encouraging. Laches objects that doctors and farmers know this without being brave; Nicias replies that a doctor cannot tell whether recovery or death is better, nor can a seer. Laches calls this evasion. Socrates draws out that on this view no beast, not even the Crommyonian sow, is brave, unless a lion or boar knows what few men know.

SOC. βούλει οὖν ᾧ λέγομεν πειθώμεθα τό γε
do-you-wish then to-what we-say let-us-obey the at-least
τοσοῦτον;
so-much

LACH. τὸ ποῖον δὴ τοῦτο, καὶ τίνι τούτῳ;
the what-sort indeed this and to-what this

SOC. τῷ λόγῳ ὃς καρτερεῖν κελεύει. εἰ οὖν βούλει, καὶ 194
to-the argument which to-endure bids if then you-wish also
ἡμεῖς ἐπὶ τῇ ζητήσει ἐπιμείνωμέν τε καὶ καρτερήσωμεν,
we in the search let-us-remain both and let-us-endure
ἵνα καὶ μὴ ἡμῶν αὐτὴ ἡ ἀνδρεία καταγελάσῃ, ὅτι
so-that also not us itself the courage may-laugh-at because
οὐκ ἀνδρείως αὐτὴν ζητοῦμεν, εἰ ἄρα πολλάκις αὐτὴ
not bravely it we-seek if after-all perchance itself
ἡ καρτέρησίς ἐστιν ἀνδρεία.
the endurance is courage

LACH. ἐγὼ μὲν ἕτοιμος, ὦ Σώκρατες, μὴ προαφίστασθαι. b
I indeed ready O Socrates not to-give-up-first
καίτοι ἀήθης γ' εἰμὶ τῶν τοιούτων λόγων· ἀλλά
and-yet unaccustomed at-least I-am to-the such speeches but
τίς με καὶ φιλονικία εἴληφεν πρὸς τὰ εἰρημένα, καὶ ὡς
some me also love-of-victory has-seized toward the things-said and as

ἀληθῶς ἀγανακτῶ εἰ οὑτωσὶ ἃ νοῶ μὴ οἷός τ' εἰμὶ
truly I-am-vexed if thus what I-think not able — I-am
εἰπεῖν. νοεῖν μὲν γὰρ ἔμοιγε δοκῶ περὶ ἀνδρείας ὅτι
to-say to-think indeed for to-me-at-least I-seem about courage what
ἔστιν, οὐκ οἶδα δ' ὅπῃ με ἄρτι διέφυγεν, ὥστε μὴ
it-is not I-know but how me just-now it-escaped so-as not
συλλαβεῖν τῷ λόγῳ αὐτὴν καὶ εἰπεῖν ὅτι ἔστιν.
to-grasp in-the account it and to-say what it-is

SOC. οὐκοῦν, ὦ φίλε, τὸν ἀγαθὸν κυνηγέτην μεταθεῖν
therefore O friend the good hunter to-pursue
χρὴ καὶ μὴ ἀνιέναι.
it-is-needful and not to-slacken

LACH. παντάπασι μὲν οὖν.
altogether indeed then

SOC. βούλει οὖν καὶ Νικίαν τόνδε παρακαλῶμεν ἐπὶ τὸ
do-you-wish then also Nicias here let-us-call-in to the
κυνηγέσιον, εἴ τι ἡμῶν εὐπορώτερός ἐστιν;
hunt if anything than-us more-resourceful he-is

c LACH. βούλομαι· πῶς γὰρ οὔ;
I-wish how for not

SOC. ἴθι δή, ὦ Νικία, ἀνδράσι φίλοις χειμαζομένοις ἐν
come indeed O Nicias for-men friends storm-tossed in
λόγῳ καὶ ἀποροῦσιν βοήθησον, εἴ τινα ἔχεις δύναμιν. τὰ
argument and at-a-loss help if any you-have power the
μὲν γὰρ δὴ ἡμέτερα ὁρᾷς ὡς ἄπορα· σὺ δ' εἰπὼν
indeed for indeed ours you-see how without-resource you and having-said
ὅτι ἡγῇ ἀνδρείαν εἶναι, ἡμᾶς τε τῆς ἀπορίας
what you-consider courage to-be us both from-the perplexity
ἔκλυσαι καὶ αὐτὸς ἃ νοεῖς τῷ λόγῳ βεβαίωσαι.
release and yourself what you-think by-the argument confirm

NIC. δοκεῖτε τοίνυν μοι πάλαι οὐ καλῶς, ὦ Σώκρατες,
you-seem then to-me long-ago not finely O Socrates
ὁρίζεσθαι τὴν ἀνδρείαν· ὃ γὰρ ἐγὼ σοῦ ἤδη καλῶς
to-define the courage what for I from-you already finely
λέγοντος ἀκήκοα, τούτῳ οὐ χρῆσθε.
speaking have-heard this not you-use
SOC. ποίῳ δή, ὦ Νικία;
what-sort indeed O Nicias
NIC. πολλάκις ἀκήκοά σου λέγοντος ὅτι ταῦτα ἀγαθὸς d
often I-have-heard you saying that in-these-things good
ἕκαστος ἡμῶν ἅπερ σοφός, ἃ δὲ ἀμαθής, ταῦτα
each of-us in-which-very wise in-what but ignorant in-these
δὲ κακός.
and bad
SOC. ἀληθῆ μέντοι νὴ Δία λέγεις, ὦ Νικία.
true-things however by Zeus you-say O Nicias
NIC. οὐκοῦν εἴπερ ὁ ἀνδρεῖος ἀγαθός, δῆλον ὅτι σοφός
therefore if-indeed the brave-man good clear that wise
ἐστιν.
he-is
SOC. ἤκουσας, ὦ Λάχης;
did-you-hear O Laches
LACH. ἔγωγε, καὶ οὐ σφόδρα γε μανθάνω ὃ λέγει.
I-at-least and not very at-least I-understand what he-says
SOC. ἀλλ' ἐγὼ δοκῶ μανθάνειν, καί μοι δοκεῖ ἀνὴρ σοφίαν
but I seem to-understand and to-me it-seems the-man wisdom
τινὰ τὴν ἀνδρείαν λέγειν.
some the courage to-call
LACH. ποίαν, ὦ Σώκρατες, σοφίαν;
what-sort O Socrates wisdom
SOC. οὐκοῦν τόνδε τοῦτο ἐρωτᾷς; e
therefore this-one this you-ask

LACH. ἔγωγε.

I-at-least

SOC. ἴθι δή, αὐτῷ εἰπέ, ὦ Νικία, ποία σοφία ἀνδρεία

come indeed to-him say O Nicias what-sort wisdom courage

ἂν εἴη κατὰ τὸν σὸν λόγον. οὐ γάρ που ἥ γε

— would-be according-to the your argument not for surely the at-least

αὐλητική.

flute-playing

NIC. οὐδαμῶς.

in-no-way

SOC. οὐδὲ μὴν ἡ κιθαριστική.

nor indeed the lyre-playing

NIC. οὐ δῆτα.

not indeed

SOC. ἀλλὰ τίς δὴ αὕτη ἢ τίνος ἐπιστήμη;

but what indeed this or of-what knowledge

LACH. πάνυ μὲν οὖν ὀρθῶς αὐτὸν ἐρωτᾷς, ὦ Σώκρατες,

certainly indeed then rightly him you-ask O Socrates

καὶ εἰπέτω γε τίνα φησὶν αὐτὴν εἶναι.

and let-him-say at-least what he-says it to-be

195 NIC. ταύτην ἔγωγε, ὦ Λάχης, τὴν τῶν δεινῶν καὶ

this I-at-least O Laches the of-the terrible and

θαρραλέων ἐπιστήμην καὶ ἐν πολέμῳ καὶ ἐν τοῖς ἄλλοις

encouraging knowledge both in war and in the others

ἅπασιν.

all

LACH. ὡς ἄτοπα λέγει, ὦ Σώκρατες.

how strange-things he-says O Socrates

SOC. πρὸς τί τοῦτ' εἶπες βλέψας, ὦ Λάχης;

toward what this did-you-say looking O Laches

LACH. πρὸς ὅτι; χωρὶς δήπου σοφία ἐστὶν ἀνδρείας.

toward what apart surely wisdom is from-courage

SOC. οὔκουν φησί γε Νικίας.
not-then says at-least Nicias
LACH. οὐ μέντοι μὰ Δία· ταῦτά τοι καὶ ληρεῖ.
not indeed by Zeus these-things surely also he-talks-nonsense
SOC. οὐκοῦν διδάσκωμεν αὐτὸν ἀλλὰ μὴ λοιδορῶμεν.
therefore let-us-teach him but not let-us-abuse
NIC. οὔκ, ἀλλά μοι δοκεῖ, ὦ Σώκρατες, Λάχης ἐπιθυμεῖν b
no but to-me it-seems O Socrates Laches to-desire
κἀμὲ φανῆναι μηδὲν λέγοντα, ὅτι καὶ αὐτὸς ἄρτι
also-me to-appear nothing saying because also himself just-now
τοιοῦτός τις ἐφάνη.
such some appeared
LACH. πάνυ μὲν οὖν, ὦ Νικία, καὶ πειράσομαί γε
certainly indeed then O Nicias and I-will-try at-least
ἀποφῆναι· οὐδὲν γὰρ λέγεις. ἐπεὶ αὐτίκα ἐν ταῖς νόσοις
to-show nothing for you-say since for-instance in the diseases
οὐχ οἱ ἰατροὶ τὰ δεινὰ ἐπίστανται; ἢ οἱ ἀνδρεῖοι δοκοῦσί
not the doctors the terrible-things know or the brave seem
σοι ἐπίστασθαι; ἢ τοὺς ἰατροὺς σὺ ἀνδρείους καλεῖς;
to-you to-know or the doctors you brave call
NIC. οὐδ' ὁπωστιοῦν.
not in-any-way-whatever
LACH. οὐδέ γε τοὺς γεωργοὺς οἶμαι. καίτοι τά γε ἐν c
nor at-least the farmers I-think and-yet the at-least in
τῇ γεωργίᾳ δεινὰ οὗτοι δήπου ἐπίστανται, καὶ οἱ ἄλλοι
the farming terrible-things these surely know and the other
δημιουργοὶ ἅπαντες τὰ ἐν ταῖς αὑτῶν τέχναις δεινά τε καὶ
craftsmen all the in the their-own arts terrible both and
θαρραλέα ἴσασιν· ἀλλ' οὐδέν τι μᾶλλον οὗτοι ἀνδρεῖοί εἰσιν.
encouraging know but nothing at-all more these brave are

SOC. τί δοκεῖ Λάχης λέγειν, ὦ Νικία; ἔοικεν μέντοι
what does-he-seem Laches to-say O Nicias he-seems however
λέγειν τι.
to-say something
NIC. καὶ γὰρ λέγει γέ τι, οὐ μέντοι ἀληθές γε.
and for he-says at-least something not however true at-least
SOC. πῶς δή;
how indeed
d NIC. ὅτι οἴεται τοὺς ἰατροὺς πλέον τι εἰδέναι περὶ
because he-thinks the doctors more anything to-know about
τοὺς κάμνοντας ἢ τὸ ὑγιεινὸν εἰπεῖν οἷόν τε καὶ
the sick than the healthy to-say what-sort both and
νοσῶδες. οἱ δὲ δήπου τοσοῦτον μόνον ἴσασιν· εἰ δὲ δεινόν
diseased they but surely so-much only know if but terrible
τῳ τοῦτό ἐστιν τὸ ὑγιαίνειν μᾶλλον ἢ τὸ κάμνειν,
to-someone this is the to-be-healthy rather than the to-be-sick
ἡγῇ σὺ τουτί, ὦ Λάχης, τοὺς ἰατροὺς ἐπίστασθαι; ἢ
consider you this O Laches the doctors to-know or
οὐ πολλοῖς οἴει ἐκ τῆς νόσου ἄμεινον εἶναι μὴ
not for-many do-you-think from the disease better to-be not
ἀναστῆναι ἢ ἀναστῆναι; τοῦτο γὰρ εἰπέ· σὺ πᾶσι φῂς
to-get-up than to-get-up this for say you for-all do-you-say
ἄμεινον εἶναι ζῆν καὶ οὐ πολλοῖς κρεῖττον τεθνάναι;
better to-be to-live and not for-many better to-have-died
LACH. οἶμαι ἔγωγε τοῦτό γε.
I-think I-at-least this at-least
NIC. οἷς οὖν τεθνάναι λυσιτελεῖ, ταὐτὰ οἴει δεινὰ
to-whom then to-have-died is-profitable the-same-things do-you-think terrible
εἶναι καὶ οἷς ζῆν;
to-be and to-whom to-live
LACH. οὐκ ἔγωγε.
not I-at-least

NIC. ἀλλὰ τοῦτο δὴ σὺ δίδως τοῖς ἰατροῖς γιγνώσκειν
but this indeed you grant to-the doctors to-know
ἢ ἄλλῳ τινὶ δημιουργῷ πλὴν τῷ τῶν δεινῶν καὶ μὴ
or to-other some craftsman except to-the of-the terrible and not
δεινῶν ἐπιστήμονι, ὃν ἐγὼ ἀνδρεῖον καλῶ;
terrible knower whom I brave call
SOC. κατανοεῖς, ὦ Λάχης, ὅτι λέγει;
do-you-understand O Laches what he-says
LACH. ἔγωγε, ὅτι γε τοὺς μάντεις καλεῖ τοὺς ἀνδρείους· e
I-at-least that at-least the seers he-calls the brave
τίς γὰρ δὴ ἄλλος εἴσεται ὅτῳ ἄμεινον ζῆν ἢ
who for indeed other will-know for-whom better to-live than
τεθνάναι; καίτοι σύ, ὦ Νικία, πότερον ὁμολογεῖς μάντις
to-have-died and-yet you O Nicias whether do-you-admit a-seer
εἶναι ἢ οὔτε μάντις οὔτε ἀνδρεῖος;
to-be or neither seer nor brave
NIC. τί δέ; μάντει αὖ οἴει προσήκει τὰ δεινὰ
what and to-a-seer again do-you-think it-belongs the terrible-things
γιγνώσκειν καὶ τὰ θαρραλέα;
to-know and the encouraging-things
LACH. ἔγωγε· τίνι γὰρ ἄλλῳ;
I-at-least to-whom for other
NIC. ᾧ ἐγὼ λέγω πολὺ μᾶλλον, ὦ βέλτιστε· ἐπεὶ 196
to-whom I say much rather O best since
μάντιν γε τὰ σημεῖα μόνον δεῖ γιγνώσκειν τῶν
a-seer at-least the signs only it-is-needful to-know of-the
ἐσομένων, εἴτε τῳ θάνατος εἴτε νόσος εἴτε ἀποβολὴ
things-to-be whether to-someone death or disease or loss
χρημάτων ἔσται, εἴτε νίκη εἴτε ἥττα ἢ πολέμου ἢ καὶ
of-property will-be or victory or defeat either of-war or also
ἄλλης τινὸς ἀγωνίας· ὅτι δέ τῳ ἄμεινον τούτων ἢ
of-other some contest what but for-someone better of-these either

παθεῖν ἢ μὴ παθεῖν, τί μᾶλλον μάντει προσήκει κρῖναι
to-suffer or not to-suffer why rather for-a-seer does-it-belong to-judge
ἢ ἄλλῳ ὁτῳοῦν;
than for-other anyone-whatever

b LACH. ἀλλ' ἐγὼ τούτου οὐ μανθάνω, ὦ Σώκρατες, ὅτι
but I of-this-one not understand O Socrates what
βούλεται λέγειν· οὔτε γὰρ μάντιν οὔτε ἰατρὸν οὔτε ἄλλον
he-wishes to-say neither for seer nor doctor nor other
οὐδένα δηλοῖ ὄντινα λέγει τὸν ἀνδρεῖον, εἰ μὴ εἰ θεόν τινα
anyone he-shows whomever he-calls the brave unless — if god some
λέγει αὐτὸν εἶναι. ἐμοὶ μὲν οὖν φαίνεται Νικίας οὐκ ἐθέλειν
he-calls him to-be to-me indeed then appears Nicias not to-be-willing
γενναίως ὁμολογεῖν ὅτι οὐδὲν λέγει, ἀλλὰ στρέφεται ἄνω
nobly to-admit that nothing he-says but turns up
καὶ κάτω ἐπικρυπτόμενος τὴν αὑτοῦ ἀπορίαν· καίτοι κἂν
and down concealing the his-own perplexity and-yet even
ἡμεῖς οἷοί τε ἦμεν ἄρτι ἐγώ τε καὶ σὺ τοιαῦτα στρέφεσθαι,
we able — were just-now I both and you such-things to-twist
εἰ ἐβουλόμεθα μὴ δοκεῖν ἐναντία ἡμῖν αὐτοῖς λέγειν. εἰ
if we-wished not to-seem opposite-things to-us ourselves to-say if
μὲν οὖν ἐν δικαστηρίῳ ἡμῖν οἱ λόγοι ἦσαν, εἶχεν ἄν
indeed then in a-law-court for-us the speeches were it-would-have —
τινα λόγον ταῦτα ποιεῖν· νῦν δὲ τί ἄν τις ἐν συνουσίᾳ
some reason these-things to-do now but why — anyone in a-gathering
τοιᾷδε μάτην κενοῖς λόγοις αὐτὸς αὑτὸν κοσμοῖ;
such-as-this in-vain with-empty words himself himself would-adorn

c SOC. οὐδὲν οὐδ' ἐμοὶ δοκεῖ, ὦ Λάχης· ἀλλ' ὁρῶμεν μὴ Νικίας
nothing nor to-me it-seems O Laches but let-us-see whether Nicias
οἴεταί τι λέγειν καὶ οὐ λόγου ἕνεκα ταῦτα λέγει.
thinks something to-say and not of-argument for-the-sake these-things says

αὐτοῦ οὖν σαφέστερον πυθώμεθα τί ποτε νοεῖ· καὶ ἐάν
from-him then more-clearly let-us-learn what ever he-means and if
τι φαίνηται λέγων, συγχωρησόμεθα, εἰ δὲ μή, διδάξομεν.
anything he-appears saying we-will-agree if but not we-will-teach
LACH. σὺ τοίνυν, ὦ Σώκρατες, εἰ βούλει πυνθάνεσθαι,
you then O Socrates if you-wish to-inquire
πυνθάνου· ἐγὼ δ' ἴσως ἱκανῶς πέπυσμαι.
inquire I and perhaps sufficiently have-inquired
SOC. ἀλλ' οὐδέν με κωλύει· κοινὴ γὰρ ἔσται ἡ πύστις
but nothing me binders common for will-be the inquiry
ὑπὲρ ἐμοῦ τε καὶ σοῦ.
on-behalf-of me both and you
LACH. πάνυ μὲν οὖν.
certainly indeed then
SOC. λέγε δή μοι, ὦ Νικία — μᾶλλον δ' ἡμῖν· κοινούμεθα d
tell indeed me O Nicias rather but us we-share
γὰρ ἐγώ τε καὶ Λάχης τὸν λόγον — τὴν ἀνδρείαν
for I both and Laches the argument the courage
ἐπιστήμην φὴς δεινῶν τε καὶ θαρραλέων εἶναι;
knowledge you-say of-terrible-things both and of-encouraging-things to-be
NIC. ἔγωγε.
I-at-least
SOC. τοῦτο δὲ οὐ παντὸς δὴ εἶναι ἀνδρὸς γνῶναι,
this and not of-every indeed to-be man to-know
ὁπότε γε μήτε ἰατρὸς μήτε μάντις αὐτὸ γνώσεται
since at-least neither doctor nor seer it will-know
μηδὲ ἀνδρεῖος ἔσται, ἐὰν μὴ αὐτὴν ταύτην τὴν ἐπιστήμην
nor brave will-be if not itself this the knowledge
προσλάβῃ· οὐχ οὕτως ἔλεγες;
he-takes-in-addition not so did-you-say
NIC. οὕτω μὲν οὖν.
so indeed then

SOC. κατὰ τὴν παροιμίαν ἄρα τῷ ὄντι οὐκ ἂν πᾶσα
according-to the proverb then in-the reality not — every
ὗς γνοίη οὐδ' ἂν ἀνδρεία γένοιτο.
sow would-know nor — brave would-become
NIC. οὔ μοι δοκεῖ.
not to-me it-seems
e SOC. δῆλον δή, ὦ Νικία, ὅτι οὐδὲ τὴν Κρομμυωνίαν
clear indeed O Nicias that not-even the Crommyonian
ὗν πιστεύεις σύ γε ἀνδρείαν γεγονέναι. τοῦτο δὲ λέγω
sow believe you at-least brave to-have-been this and I-say
οὐ παίζων, ἀλλ' ἀναγκαῖον οἶμαι τῷ ταῦτα λέγοντι
not joking but necessary I-think for-the-one these-things saying
μηδενὸς θηρίου ἀποδέχεσθαι ἀνδρείαν, ἢ συγχωρεῖν θηρίον
of-no beast to-accept courage or to-grant beast
τι οὕτω σοφὸν εἶναι, ὥστε ἃ ὀλίγοι ἀνθρώπων ἴσασι
some so wise to-be so-that what few of-men know
διὰ τὸ χαλεπὰ εἶναι γνῶναι, ταῦτα λέοντα ἢ πάρδαλιν
because-of the hard to-be to-know these-things a-lion or leopard
ἤ τινα κάπρον φάναι εἰδέναι· ἀλλ' ἀνάγκη ὁμοίως λέοντα
or some boar to-say to-know but necessity alike lion
καὶ ἔλαφον καὶ ταῦρον καὶ πίθηκον πρὸς ἀνδρείαν φάναι
and deer and bull and ape toward courage to-say
πεφυκέναι τὸν τιθέμενον ἀνδρείαν τοῦθ' ὅπερ σὺ τίθεσαι.
to-be-by-nature the-one positing courage this which-very you posit

Laches asks whether the beasts everyone agrees are brave are then wiser than men, or whether Nicias denies them courage. Nicias says they are rash, not brave, like children who fear nothing through ignorance; courage belongs to the prudent few. Socrates traces the distinction to Damon, Prodicus's companion, and Laches calls it a sophist's refinement, unfit for a city's leader. Socrates takes over the questioning. Courage was a part of virtue, beside temperance and justice. What is terrible is expected evil, and what is encouraging expected good. But one knowledge covers a thing's past, present, and future, as medicine covers health, farming the crops, and generalship, which rules the seer, war.

LACH. νὴ τοὺς θεούς, καὶ εὖ γε λέγεις, ὦ Σώκρατες. 197
by the gods and well at-least you-speak O Socrates
καὶ ἡμῖν ὡς ἀληθῶς τοῦτο ἀπόκριναι, ὦ Νικία, πότερον
and to-us as truly this answer O Nicias whether
σοφώτερα φῂς ἡμῶν ταῦτα εἶναι τὰ θηρία, ἃ πάντες
wiser do-you-say than-us these to-be the beasts which all
ὁμολογοῦμεν ἀνδρεῖα εἶναι, ἢ πᾶσιν ἐναντιούμενος τολμᾷς
we-agree brave to-be or with-all being-at-odds you-dare
μηδὲ ἀνδρεῖα αὐτὰ καλεῖν;
not-even brave them to-call
NIC. οὐ γάρ τι, ὦ Λάχης, ἔγωγε ἀνδρεῖα καλῶ οὔτε b
not for at-all O Laches I-at-least brave call neither
θηρία οὔτε ἄλλο οὐδὲν τὸ τὰ δεινὰ ὑπὸ ἀνοίας μὴ
beasts nor other anything the-thing the terrible-things by folly not
φοβούμενον, ἀλλ' ἄφοβον καὶ μῶρον· ἢ καὶ τὰ παιδία
fearing but fearless and stupid or also the children
πάντα οἴει με ἀνδρεῖα καλεῖν, ἃ δι' ἄνοιαν οὐδὲν
all do-you-think me brave to-call who through folly nothing
δέδοικεν; ἀλλ' οἶμαι τὸ ἄφοβον καὶ τὸ ἀνδρεῖον οὐ ταὐτόν
have-feared but I-think the fearless and the brave not the-same

ἐστιν. ἐγὼ δὲ ἀνδρείας μὲν καὶ προμηθίας πάνυ τισὶν
is I and of-courage indeed and of-forethought very some
ὀλίγοις οἶμαι μετεῖναι, θρασύτητος δὲ καὶ τόλμης καὶ
few I-think to-have-a-share of-rashness but and of-daring and
τοῦ ἀφόβου μετὰ ἀπρομηθίας πάνυ πολλοῖς καὶ ἀνδρῶν
of-the fearless with lack-of-forethought very many both of-men
καὶ γυναικῶν καὶ παίδων καὶ θηρίων. ταῦτ' οὖν ἃ σὺ
and of-women and of-children and of-beasts these then which you
καλεῖς ἀνδρεῖα καὶ οἱ πολλοί, ἐγὼ θρασέα καλῶ, ἀνδρεῖα
call brave and the many I rash call brave
δὲ τὰ φρόνιμα περὶ ὧν λέγω.
but the prudent about whom I-speak

LACH. θέασαι, ὦ Σώκρατες, ὡς εὖ ὅδε ἑαυτὸν δή, ὡς οἴεται,
behold O Socrates how well this-one himself indeed as he-thinks
κοσμεῖ τῷ λόγῳ· οὓς δὲ πάντες ὁμολογοῦσιν ἀνδρείους
adorns with-the speech whom and all agree brave
εἶναι, τούτους ἀποστερεῖν ἐπιχειρεῖ ταύτης τῆς τιμῆς.
to-be these to-rob he-attempts of-this the honor

NIC. οὔκουν σέ γε, ὦ Λάχης, ἀλλὰ θάρρει· φημὶ γάρ σε
not-then you at-least O Laches but take-heart I-say for you
εἶναι σοφόν, καὶ Λάμαχόν γε, εἴπερ ἐστὲ ἀνδρεῖοι, καὶ
to-be wise and Lamachus at-least if-indeed you-are brave and
ἄλλους γε συχνοὺς Ἀθηναίων.
others at-least many of-Athenians

LACH. οὐδὲν ἐρῶ πρὸς ταῦτα, ἔχων εἰπεῖν, ἵνα μή με
nothing will-I-say to these-things having to-say so-that not me
φῂς ὡς ἀληθῶς Αἰξωνέα εἶναι.
you-say as truly an-Aexonian to-be

d SOC. μηδέ γε εἴπῃς, ὦ Λάχης· καὶ γάρ μοι δοκεῖς οὐδὲ
do-not at-least say O Laches also for to-me you-seem not-even
ἠσθῆσθαι ὅτι ταύτην τὴν σοφίαν παρὰ Δάμωνος τοῦ
to-have-perceived that this the wisdom from Damon the

ἡμετέρου ἑταίρου παρείληφεν, ὁ δὲ Δάμων τῷ Προδίκῳ
our comrade he-has-taken-over — and Damon — with-Prodicus
πολλὰ πλησιάζει, ὃς δὴ δοκεῖ τῶν σοφιστῶν κάλλιστα
much associates who indeed seems of-the sophists most-finely
τὰ τοιαῦτα ὀνόματα διαιρεῖν.
the such names to-distinguish

LACH. καὶ γὰρ πρέπει, ὦ Σώκρατες, σοφιστῇ τὰ τοιαῦτα
and for it-befits O Socrates a-sophist the such-things
μᾶλλον κομψεύεσθαι ἢ ἀνδρὶ ὃν ἡ πόλις ἀξιοῖ αὑτῆς
rather to-refine than a-man whom the city thinks-fit of-itself
προεστάναι.
to-lead

SOC. πρέπει μέν που, ὦ μακάριε, τῶν μεγίστων e
it-befits indeed surely O blessed-one of-the greatest-things
προστατοῦντι μεγίστης φρονήσεως μετέχειν· δοκεῖ δέ
presiding in-greatest prudence to-share it-seems and
μοι Νικίας ἄξιος εἶναι ἐπισκέψεως, ὅποι ποτὲ βλέπων
to-me Nicias worthy to-be of-examination whither ever looking
τοὔνομα τοῦτο τίθησι τὴν ἀνδρείαν.
the-name this he-sets the courage

LACH. αὐτὸς τοίνυν σκόπει, ὦ Σώκρατες.
yourself then consider O Socrates

SOC. τοῦτο μέλλω ποιεῖν, ὦ ἄριστε· μὴ μέντοι οἴου με
this I-am-going to-do O best not however think me
ἀφήσειν σε τῆς κοινωνίας τοῦ λόγου, ἀλλὰ πρόσεχε
will-let-go you from-the partnership of-the argument but apply
τὸν νοῦν καὶ συσκόπει τὰ λεγόμενα.
the mind and consider-together the things-said

LACH. ταῦτα δὴ ἔστω, εἰ δοκεῖ χρῆναι.
these-things indeed let-it-be if it-seems to-be-needful

198 SOC. ἀλλὰ δοκεῖ. σὺ δέ, Νικία, λέγε ἡμῖν πάλιν ἐξ
but it-seems you and Nicias tell us again from
ἀρχῆς· οἶσθ' ὅτι τὴν ἀνδρείαν κατ' ἀρχὰς τοῦ λόγου
beginning you-know that the courage at beginnings of-the argument
ἐσκοποῦμεν ὡς μέρος ἀρετῆς σκοποῦντες;
we-considered as part of-virtue considering

NIC. πάνυ γε.
certainly at-least

SOC. οὐκοῦν καὶ σὺ τοῦτο ἀπεκρίνω ὡς μόριον, ὄντων
therefore also you this answered as a-portion being
δὴ καὶ ἄλλων μερῶν, ἃ σύμπαντα ἀρετὴ κέκληται;
indeed also other parts which all-together virtue has-been-called

NIC. πῶς γὰρ οὔ;
how for not

SOC. ἆρ' οὖν ἅπερ ἐγὼ καὶ σὺ ταῦτα λέγεις; ἐγὼ δὲ
so then which-very I also you these-things mean I and
καλῶ πρὸς ἀνδρείᾳ σωφροσύνην καὶ δικαιοσύνην καὶ ἄλλ'
call besides courage temperance and justice and other
ἄττα τοιαῦτα. οὐ καὶ σύ;
some such-things not also you

b NIC. πάνυ μὲν οὖν.
certainly indeed then

SOC. ἔχε δή. ταῦτα μὲν γὰρ ὁμολογοῦμεν, περὶ δὲ τῶν
hold indeed these-things indeed for we-agree about but the
δεινῶν καὶ θαρραλέων σκεψώμεθα, ὅπως μὴ σὺ μὲν
terrible and encouraging-things let-us-consider so-that not you indeed
ἄλλ' ἄττα ἡγῇ, ἡμεῖς δὲ ἄλλα. ἃ μὲν οὖν
other some-things consider we and other-things what-things indeed then
ἡμεῖς ἡγούμεθα, φράσομέν σοι· σὺ δὲ ἂν μὴ ὁμολογῇς,
we consider we-will-tell you you and if not you-agree
διδάξεις. ἡγούμεθα δ' ἡμεῖς δεινὰ μὲν εἶναι ἃ καὶ
will-teach consider and we terrible indeed to-be what-things also

δέος παρέχει, θαρραλέα δὲ ἃ μὴ δέος παρέχει —
fear provide encouraging and what-things not fear provide
δέος δὲ παρέχει οὐ τὰ γεγονότα οὐδὲ τὰ παρόντα τῶν
fear and provide not the having-happened nor the present of-the
κακῶν, ἀλλὰ τὰ προσδοκώμενα· δέος γὰρ εἶναι προσδοκίαν
evils but the expected fear for to-be expectation
μέλλοντος κακοῦ — ἢ οὐχ οὕτω καὶ συνδοκεῖ, ὦ Λάχης;
of-future evil or not so also does-it-seem-so-too O Laches
LACH. πάνυ γε σφόδρα, ὦ Σώκρατες. c
certainly at-least very-much O Socrates
SOC. τὰ μὲν ἡμέτερα τοίνυν, ὦ Νικία, ἀκούεις, ὅτι δεινὰ μὲν
the indeed ours then O Nicias you-hear that terrible indeed
τὰ μέλλοντα κακά φαμεν εἶναι, θαρραλέα δὲ τὰ μὴ κακὰ ἢ
the future evils we-say to-be encouraging and the not evil or
ἀγαθὰ μέλλοντα· σὺ δὲ ταύτῃ ἢ ἄλλῃ περὶ τούτων λέγεις;
good future-things you and in-this-way or other about these say
NIC. ταύτῃ ἔγωγε.
in-this-way I-at-least
SOC. τούτων δέ γε τὴν ἐπιστήμην ἀνδρείαν προσαγορεύεις;
of-these and at-least the knowledge courage you-call
NIC. κομιδῇ γε.
exactly at-least
SOC. ἔτι δὴ τὸ τρίτον σκεψώμεθα εἰ συνδοκεῖ σοί
further indeed the third let-us-consider whether it-seems-so-too to-you
τε καὶ ἡμῖν.
both and to-us
NIC. τὸ ποῖον δὴ τοῦτο;
the what-sort indeed this
SOC. ἐγὼ δὴ φράσω. δοκεῖ γὰρ δὴ ἐμοί τε καὶ τῷδε, d
I indeed will-explain it-seems for indeed to-me both and to-this-one
περὶ ὅσων ἐστὶν ἐπιστήμη, οὐκ ἄλλη μὲν εἶναι περὶ
about as-many-things-as there-is knowledge not other indeed to-be about

γεγονότος εἰδέναι ὅπῃ γέγονεν, ἄλλη δὲ περὶ γιγνομένων
the-past to-know how it-has-happened other and about present-things
ὅπῃ γίγνεται, ἄλλη δὲ ὅπῃ ἂν κάλλιστα γένοιτο καὶ
how it-happens other and how — most-finely might-happen and
γενήσεται τὸ μήπω γεγονός, ἀλλ' ἡ αὐτή. οἷον περὶ
will-happen the not-yet having-happened but the same as about
τὸ ὑγιεινὸν εἰς ἅπαντας τοὺς χρόνους οὐκ ἄλλη τις ἢ
the healthy for all the times not other some than
ἰατρική, μία οὖσα, ἐφορᾷ καὶ γιγνόμενα καὶ γεγονότα
medicine one being oversees both happening-things and having-happened
καὶ γενησόμενα ὅπῃ γενήσεται· καὶ περὶ τὰ ἐκ τῆς
and going-to-happen how it-will-happen and about the-things from the
γῆς αὖ φυόμενα ἡ γεωργία ὡσαύτως ἔχει·
earth again growing the farming in-the-same-way is
199 καὶ δήπου τὰ περὶ τὸν πόλεμον αὐτοὶ ἂν μαρτυρήσαιτε
and surely the about the war yourselves — would-bear-witness
ὅτι ἡ στρατηγία κάλλιστα προμηθεῖται τά τε ἄλλα
that the generalship most-finely foresees the both other-things
καὶ περὶ τὸ μέλλον ἔσεσθαι, οὐδὲ τῇ μαντικῇ οἴεται
and about the future-thing to-be nor to-the divination thinks
δεῖν ὑπηρετεῖν ἀλλὰ ἄρχειν, ὡς εἰδυῖα κάλλιον τὰ περὶ
it-needful to-serve but to-rule as knowing more-finely the about
τὸν πόλεμον καὶ γιγνόμενα καὶ γενησόμενα· καὶ ὁ νόμος
the war both happening and going-to-happen and the law
οὕτω τάττει, μὴ τὸν μάντιν τοῦ στρατηγοῦ ἄρχειν, ἀλλὰ
so orders not the seer of-the general to-rule but
τὸν στρατηγὸν τοῦ μάντεως. φήσομεν ταῦτα, ὦ Λάχης;
the general of-the seer will-we-say these-things O Laches

LACH. φήσομεν.
we-will-say

So courage would be knowledge of all goods and evils at any time, and such a man would lack none of the virtues; courage would be the whole of virtue, not the part they agreed it was. They have not found what courage is. Laches taunts Nicias, who answers that Laches seems content if others share his ignorance, and promises to learn more from Damon. Both generals advise Lysimachus to keep Socrates for the boys. Socrates says that since all are at a loss, they should all seek the best teacher they can for themselves and the boys, unashamed of school at their age. Lysimachus invites him home tomorrow.

SOC. τί δέ; σὺ ἡμῖν, ὦ Νικία, σύμφῃς περὶ τῶν αὐτῶν
what and you with-us O Nicias do-you-agree about the same
τὴν αὐτὴν ἐπιστήμην καὶ ἐσομένων καὶ γιγνομένων καὶ
the same knowledge both future and present and
γεγονότων ἐπαΐειν;
past to-be-versed-in

NIC. ἔγωγε· δοκεῖ γάρ μοι οὕτως, ὦ Σώκρατες.
I-at-least it-seems for to-me so O Socrates

SOC. οὐκοῦν, ὦ ἄριστε, καὶ ἡ ἀνδρεία τῶν δεινῶν ἐπιστήμη b
therefore O best also the courage of-the terrible knowledge
ἐστὶν καὶ θαρραλέων, ὡς φῄς· ἦ γάρ;
is and encouraging as you-say is-it-not for

NIC. ναί.
yes

SOC. τὰ δὲ δεινὰ ὡμολόγηται καὶ τὰ θαρραλέα τὰ μὲν
the and terrible have-been-agreed and the encouraging the indeed
μέλλοντα ἀγαθά, τὰ δὲ μέλλοντα κακὰ εἶναι.
future good the and future evil to-be

NIC. πάνυ γε.
certainly at-least

SOC. ἡ δέ γ' αὐτὴ ἐπιστήμη τῶν αὐτῶν καὶ μελλόντων
the and at-least same knowledge of-the same both future
καὶ πάντως ἐχόντων εἶναι.
and in-every-way being to-be
NIC. ἔστι ταῦτα.
it-is these-things
c SOC. οὐ μόνον ἄρα τῶν δεινῶν καὶ θαρραλέων ἡ ἀνδρεία
not only then of-the terrible and encouraging the courage
ἐπιστήμη ἐστίν· οὐ γὰρ μελλόντων μόνον πέρι τῶν ἀγαθῶν
knowledge is not for of-future only about the goods
τε καὶ κακῶν ἐπαΐει, ἀλλὰ καὶ γιγνομένων καὶ γεγονότων
both and evils it-is-versed but also present and past
καὶ πάντως ἐχόντων, ὥσπερ αἱ ἄλλαι ἐπιστῆμαι.
and in-every-way being as the other knowledges
NIC. ἔοικέν γε.
it-seems at-least
d SOC. μέρος ἄρα ἀνδρείας ἡμῖν, ὦ Νικία, ἀπεκρίνω σχεδόν
part then of-courage to-us O Nicias you-answered nearly
τι τρίτον· καίτοι ἡμεῖς ἠρωτῶμεν ὅλην ἀνδρείαν ὅτι
somewhat a-third and-yet we were-asking whole courage what
εἴη. καὶ νῦν δή, ὡς ἔοικεν, κατὰ τὸν σὸν λόγον οὐ
it-might-be and now indeed as it-seems according-to the your account not
μόνον δεινῶν τε καὶ θαρραλέων ἐπιστήμη ἡ ἀνδρεία ἐστίν,
only of-terrible both and encouraging knowledge the courage is
ἀλλὰ σχεδόν τι ἡ περὶ πάντων ἀγαθῶν τε καὶ κακῶν
but nearly somewhat the about all goods both and evils
καὶ πάντως ἐχόντων, ὡς νῦν αὖ ὁ σὸς λόγος, ἀνδρεία
and in-every-way being as now again the your argument courage
ἂν εἴη. οὕτως αὖ μετατίθεσθαι ἢ πῶς λέγεις, ὦ Νικία;
— would-be so again to-shift-ground or how do-you-say O Nicias
NIC. ἔμοιγε δοκεῖ, ὦ Σώκρατες.
to-me-at-least it-seems O Socrates

SOC. δοκεῖ οὖν σοι, ὦ δαιμόνιε, ἀπολείπειν ἄν τι e
does-it-seem then to-you O marvelous-one to-lack — anything
ὁ τοιοῦτος ἀρετῆς, εἴπερ εἰδείη τά τε ἀγαθὰ πάντα
the such of-virtue if-indeed he-should-know the both goods all
καὶ παντάπασιν ὡς γίγνεται καὶ γενήσεται καὶ γέγονε,
and altogether as they-happen and will-happen and have-happened
καὶ τὰ κακὰ ὡσαύτως; καὶ τοῦτον οἴει ἂν σὺ ἐνδεᾶ
and the evils likewise and this-one do-you-think — you lacking
εἶναι σωφροσύνης ἢ δικαιοσύνης τε καὶ ὁσιότητος, ᾧ
to-be of-temperance or of-justice both and of-holiness to-whom
γε μόνῳ προσήκει καὶ περὶ θεοὺς καὶ περὶ ἀνθρώπους
at-least alone it-belongs both about gods and about men
ἐξευλαβεῖσθαί τε τὰ δεινὰ καὶ τὰ μή, καὶ τἀγαθὰ
to-guard-against both the terrible-things and the not and the-goods
πορίζεσθαι, ἐπισταμένῳ ὀρθῶς προσομιλεῖν;
to-provide knowing rightly to-associate
NIC. λέγειν τὶ ὦ Σώκρατές μοι δοκεῖς.
to-say something O Socrates to-me you-seem
SOC. οὐκ ἄρα, ὦ Νικία, μόριον ἀρετῆς ἂν εἴη τὸ νῦν
not then O Nicias portion of-virtue — would-be the now
σοι λεγόμενον, ἀλλὰ σύμπασα ἀρετή.
by-you said but all-together virtue
NIC. ἔοικεν.
it-seems
SOC. καὶ μὴν ἔφαμέν γε τὴν ἀνδρείαν μόριον εἶναι ἓν
and indeed we-said at-least the courage portion to-be one
τῶν τῆς ἀρετῆς.
of-the of-the virtue
NIC. ἔφαμεν γάρ.
we-said for
SOC. τὸ δέ γε νῦν λεγόμενον οὐ φαίνεται.
the but at-least now said not appears

NIC. οὐκ ἔοικεν.

not it-seems

SOC. οὐκ ἄρα ηὑρήκαμεν, ὦ Νικία, ἀνδρεία ὅτι ἔστιν.

not then we-have-found O Nicias courage what it-is

NIC. οὐ φαινόμεθα.

not we-appear

200 LACH. καὶ μὴν ἔγωγε, ὦ φίλε Νικία, ᾠμην σε εὑρήσειν,

and indeed I-at-least O dear Nicias thought you would-find

ἐπειδὴ ἐμοῦ κατεφρόνησας Σωκράτει ἀποκριναμένου· πάνυ

since me you-despised to-Socrates having-answered very

δὴ μεγάλην ἐλπίδα εἶχον, ὡς τῇ παρὰ τοῦ Δάμωνος

indeed great hope I-had that by-the from — Damon

σοφίᾳ αὐτὴν ἀνευρήσεις.

wisdom it you-would-discover

b NIC. εὖ γε, ὦ Λάχης, ὅτι οὐδὲν οἴει σὺ ἔτι πρᾶγμα

well at-least O Laches that nothing think you any-longer matter

εἶναι ὅτι αὐτὸς ἄρτι ἐφάνης ἀνδρείας πέρι οὐδὲν εἰδώς,

to-be that yourself just-now appeared of-courage about nothing knowing

ἀλλ' εἰ καὶ ἐγὼ ἕτερος τοιοῦτος ἀναφανήσομαι, πρὸς τοῦτο

but if also I another such will-be-shown to this

βλέπεις, καὶ οὐδὲν ἔτι διοίσει, ὡς ἔοικε, σοὶ

you-look and nothing further will-it-make-a-difference as it-seems to-you

μετ' ἐμοῦ μηδὲν εἰδέναι ὧν προσήκει ἐπιστήμην ἔχειν

with me nothing to-know of-what it-befits knowledge to-have

ἀνδρὶ οἰομένῳ τὶ εἶναι. σὺ μὲν οὖν μοι δοκεῖς ὡς

for-a-man thinking something to-be you indeed then to-me seem as

ἀληθῶς ἀνθρώπειον πρᾶγμα ἐργάζεσθαι οὐδὲ πρὸς σαυτὸν

truly a-human thing to-do nor toward yourself

βλέπειν ἀλλὰ πρὸς τοὺς ἄλλους· ἐγὼ δ' οἶμαι ἐμοὶ περὶ

to-look but toward the others I and think to-me about

ὧν ἐλέγομεν νῦν τε ἐπιεικῶς εἰρῆσθαι, καὶ εἴ τι

what-things we-were-saying now both reasonably to-have-been-said and if anything

αὐτῶν μὴ ἱκανῶς εἴρηται, ὕστερον ἐπανορθώσεσθαι καὶ
of-them not sufficiently has-been-said later to-set-right both
μετὰ Δάμωνος — οὗ σύ που οἴει καταγελᾶν, καὶ ταῦτα
with Damon whom you surely think to-laugh-at and these-things
οὐδ' ἰδὼν πώποτε τὸν Δάμωνα — καὶ μετ' ἄλλων·
not-even having-seen ever — Damon and with others
καὶ ἐπειδὰν βεβαιώσωμαι αὐτά, διδάξω καὶ σέ, καὶ οὐ
and when I-have-confirmed them I-will-teach also you and not
φθονήσω· δοκεῖς γάρ μοι καὶ μάλα σφόδρα δεῖσθαι μαθεῖν.
I-will-begrudge you-seem for to-me also very greatly to-need to-learn
LACH. σοφὸς γάρ τοι σὺ εἶ, ὦ Νικία. ἀλλ' ὅμως ἐγὼ
wise for surely you are O Nicias but nevertheless I
Λυσιμάχῳ τῷδε καὶ Μελησίᾳ συμβουλεύω σὲ μὲν καὶ ἐμὲ
to-Lysimachus here and to-Melesias advise you indeed and me
περὶ τῆς παιδείας τῶν νεανίσκων χαίρειν ἐᾶν, Σωκράτη δὲ
about the education of-the young-men to-fare-well to-let Socrates but
τουτονί, ὅπερ ἐξ ἀρχῆς ἔλεγον, μὴ ἀφιέναι· εἰ δὲ καὶ ἐμοὶ
this-here which-very from beginning I-said not to-let-go if and also to-me
ἐν ἡλικίᾳ ἦσαν οἱ παῖδες, ταὐτὰ ἂν ταῦτ' ἐποίουν.
in age were the children the-same-things — these-things I-would-have-done
NIC. ταῦτα μὲν κἀγὼ συγχωρῶ· ἐάνπερ ἐθέλῃ Σωκράτης d
these-things indeed also-I agree if-indeed is-willing Socrates
τῶν μειρακίων ἐπιμελεῖσθαι, μηδένα ἄλλον ζητεῖν. ἐπεὶ
the lads to-care-for no-one other to-seek since
κἂν ἐγὼ τὸν Νικήρατον τούτῳ ἥδιστα ἐπιτρέποιμι, εἰ
also I — Niceratus to-this-one most-gladly would-entrust if
ἐθέλοι οὗτος· ἀλλὰ γὰρ ἄλλους μοι ἑκάστοτε συνίστησιν,
were-willing this-one but for others to-me each-time he-introduces
ὅταν τι αὐτῷ περὶ τούτου μνησθῶ, αὐτὸς δὲ οὐκ
whenever anything to-him about this I-mention himself but not

ἐθέλει. ἀλλ' ὅρα, ὦ Λυσίμαχε, εἴ τι σοῦ ἂν μᾶλλον
is-willing but see O Lysimachus if anything you — more
ὑπακούοι Σωκράτης.
would-heed Socrates

LYS. δίκαιόν γέ τοι, ὦ Νικία, ἐπεὶ καὶ ἐγὼ τούτῳ πολλὰ
just at-least surely O Nicias since also I to-this-one many-things
ἂν ἐθελήσαιμι ποιεῖν, ἃ οὐκ ἂν ἄλλοις πάνυ πολλοῖς
— would-be-willing to-do which not — to-others very many
ἐθέλοιμι. πῶς οὖν φῄς, ὦ Σώκρατες; ὑπακούσῃ τι καὶ
I-would-be-willing how then do-you-say O Socrates will-you-heed at-all and
συμπροθυμήσῃ ὡς βελτίστοις γενέσθαι τοῖς μειρακίοις;
will-you-share-the-eagerness as best to-become for-the lads

e SOC. καὶ γὰρ ἂν δεινὸν εἴη, ὦ Λυσίμαχε, τοῦτό γε, μὴ
and for — terrible would-be O Lysimachus this at-least not
ἐθέλειν τῳ συμπροθυμεῖσθαι ὡς βελτίστῳ γενέσθαι. εἰ
to-be-willing for-anyone to-share-eagerness as best to-become if
μὲν οὖν ἐν τοῖς διαλόγοις τοῖς ἄρτι ἐγὼ μὲν ἐφάνην εἰδώς,
indeed then in the dialogues the just-now I indeed appeared knowing
τώδε δὲ μὴ εἰδότε, δίκαιον ἂν ἦν ἐμὲ μάλιστα ἐπὶ
these-two but not knowing just — it-would-have-been me most to
τοῦτο τὸ ἔργον παρακαλεῖν, νῦν δ' ὁμοίως γὰρ πάντες ἐν
this the task to-call now but alike for all in
ἀπορίᾳ ἐγενόμεθα· τί οὖν ἄν τις ἡμῶν τίνα προαιροῖτο;
perplexity we-came why then — anyone of-us whom would-prefer

201 ἐμοὶ μὲν οὖν δὴ αὐτῷ δοκεῖ οὐδένα· ἀλλ' ἐπειδὴ ταῦτα
to-me indeed then indeed myself it-seems no-one but since these-things
οὕτως ἔχει, σκέψασθε ἄν τι δόξω συμβουλεύειν ὑμῖν.
so are consider if anything I-seem to-advise you
ἐγὼ γάρ φημι χρῆναι, ὦ ἄνδρες — οὐδεὶς γὰρ ἔκφορος
I for say it-is-needful O men no-one for to-be-carried-out
λόγος — κοινῇ πάντας ἡμᾶς ζητεῖν μάλιστα μὲν ἡμῖν
word in-common all us to-seek most indeed for-us

αὐτοῖς διδάσκαλον ὡς ἄριστον — δεόμεθα γάρ — ἔπειτα
ourselves teacher as best we-need for then
καὶ τοῖς μειρακίοις, μήτε χρημάτων φειδομένους μήτε
also for-the lads neither money sparing nor
ἄλλου μηδενός· ἐᾶν δὲ ἡμᾶς αὐτοὺς ἔχειν ὡς νῦν ἔχομεν
other anything to-let but us ourselves to-be as now we-are
οὐ συμβουλεύω. εἰ δέ τις ἡμῶν καταγελάσεται, ὅτι
not I-advise if but anyone us will-laugh-at because
τηλικοίδε ὄντες εἰς διδασκάλων ἀξιοῦμεν φοιτᾶν, τὸν
so-old being to teachers we-think-fit to-go-to —
Ὅμηρον δοκεῖ μοι χρῆναι προβάλλεσθαι, ὃς ἔφη οὐκ
Homer it-seems to-me to-be-needful to-put-forward who said not
ἀγαθὴν εἶναι αἰδῶ κεχρημένῳ ἀνδρὶ παρεῖναι. καὶ ἡμεῖς
good to-be modesty for-a-needy man to-be-present and we
οὖν ἐάσαντες χαίρειν εἴ τίς τι ἐρεῖ, κοινῇ ἡμῶν
then having-let to-fare-well if anyone anything will-say in-common of-us
αὐτῶν καὶ τῶν μειρακίων ἐπιμέλειαν ποιησώμεθα.
ourselves and of-the lads care let-us-make
LYS. ἐμοὶ μὲν ἀρέσκει, ὦ Σώκρατες, ἃ λέγεις· καὶ c
to-me indeed it-pleases O Socrates what you-say and
ἐθέλω, ὅσῳπερ γεραίτατός εἰμι, τοσούτῳ προθυμότατα
I-wish by-as-much-as oldest I-am by-so-much most-eagerly
μανθάνειν μετὰ τῶν νεανίσκων. ἀλλά μοι οὑτωσὶ ποίησον·
to-learn with the young-men but for-me thus do
αὔριον ἕωθεν ἀφίκου οἴκαδε καὶ μὴ ἄλλως ποιήσῃς, ἵνα
tomorrow at-dawn come home and not otherwise do so-that
βουλευσώμεθα περὶ αὐτῶν τούτων, τὸ δὲ νῦν εἶναι τὴν
we-may-deliberate about them these the and now to-be the
συνουσίαν διαλύσωμεν.
gathering let-us-break-up

SOC. ἀλλὰ ποιήσω, ὦ Λυσίμαχε, ταῦτα, καὶ ἥξω παρὰ
but I-will-do O Lysimachus these-things and will-come to
σὲ αὔριον, ἐὰν θεὸς ἐθέλῃ.
you tomorrow if god be-willing

PLATO

ΧΑΡΜΙΔΗΣ

Charmides

Socrates tells how, just back from the army at Potidaea, he went to the wrestling school of Taureas. Chaerephon ran to him and seated him by Critias, and he told them about the battle. Then he asked about philosophy and whether any young men excelled in wisdom or beauty. Critias pointed to the lovers crowding in ahead of his cousin Charmides, son of Glaucon. When Charmides entered, everyone gazed at him like a statue; Chaerephon said that stripped he would seem to have no face. Socrates asked whether his soul was as fine, and when Critias said it was, proposed to strip that first.

ἥκομεν τῇ προτεραίᾳ ἑσπέρας ἐκ Ποτειδαίας ἀπὸ τοῦ 153
we-came on-the day-before in-the-evening from Potidaea from the
στρατοπέδου, οἷον δὲ διὰ χρόνου ἀφιγμένος ἁσμένως
camp as and after time having-arrived gladly
ᾖα ἐπὶ τὰς συνήθεις διατριβάς. καὶ δὴ καὶ εἰς τὴν
I-went to the accustomed haunts and indeed also into the
Ταυρέου παλαίστραν τὴν καταντικρὺ τοῦ τῆς Βασίλης
of-Taureas wrestling-school the opposite the — of-Basile
ἱεροῦ εἰσῆλθον, καὶ αὐτόθι κατέλαβον πάνυ πολλούς, τοὺς
temple I-entered and there I-found very many the-ones
μὲν καὶ ἀγνῶτας ἐμοί, τοὺς δὲ πλείστους γνωρίμους. καί
indeed even unknown to-me the-ones and most acquaintances and
με ὡς εἶδον εἰσιόντα ἐξ ἀπροσδοκήτου, εὐθὺς πόρρωθεν
me when they-saw entering from unexpected straightway from-afar
ἠσπάζοντο ἄλλος ἄλλοθεν· Χαιρεφῶν δέ, ἅτε καὶ μανικὸς
they-greeted one from-another-place Chaerephon and since also frantic
ὤν, ἀναπηδήσας ἐκ μέσων ἔθει πρός με, καί μου λαβόμενος
being having-leapt-up from the-middle ran toward me and me having-taken
τῆς χειρός, ὦ Σώκρατες, ἦ δ' ὅς, πῶς ἐσώθης ἐκ
by-the hand O Socrates said — he how were-you-saved from

τῆς μάχης; Ὀλίγον δὲ πρὶν ἡμᾶς ἀπιέναι μάχη ἐγεγόνει
the battle Little and before us to-depart a-battle had-happened
ἐν τῇ Ποτειδαίᾳ, ἣν ἄρτι ἦσαν οἱ τῇδε πεπυσμένοι.
at — Potidaea which just-now were the-people here having-learned-of
καὶ ἐγὼ πρὸς αὐτὸν ἀποκρινόμενος, Οὕτωσί, ἔφην, ὡς σὺ
and I to him answering Thus I-said as you
ὁρᾷς.
see
c καὶ μὴν ἤγγελταί γε δεῦρο, ἔφη, ἥ τε μάχη πάνυ
and indeed it-has-been-reported at-least hither he-said the both battle very
ἰσχυρὰ γεγονέναι καὶ ἐν αὐτῇ πολλοὺς τῶν γνωρίμων
fierce to-have-been and in it many of-the acquaintances
τεθνάναι.
to-have-died
καὶ ἐπιεικῶς, ἦν δ' ἐγώ, ἀληθῆ ἀπήγγελται.
and fairly said — I true-things has-been-reported
παρεγένου μέν, ἦ δ' ὅς, τῇ μάχῃ;
were-you-present indeed said — he at-the battle
παρεγενόμην.
I-was-present
δεῦρο δή, ἔφη, καθεζόμενος ἡμῖν διήγησαι· οὐ γάρ τί
hither indeed he-said sitting-down to-us narrate not for at-all
πω πάντα σαφῶς πεπύσμεθα. καὶ ἅμα με καθίζει ἄγων
yet all-things clearly we-have-learned and at-once me he-seats leading
παρὰ Κριτίαν τὸν Καλλαίσχρου.
beside Critias the (son)-of-Callaeschrus
d παρακαθεζόμενος οὖν ἠσπαζόμην τόν τε Κριτίαν καὶ τοὺς
sitting-down-beside then I-greeted — both Critias and the
ἄλλους, καὶ διηγούμην αὐτοῖς τὰ ἀπὸ στρατοπέδου, ὅτι
others and I-narrated to-them the from camp whatever
μέ τις ἀνέροιτο· ἠρώτων δὲ ἄλλος ἄλλο.
me anyone asked they-asked and one another-thing

ἐπειδὴ δὲ τῶν τοιούτων ἅδην εἴχομεν, αὖθις ἐγὼ αὐτοὺς
when and of-the such-things enough we-had again I them
ἀνηρώτων τὰ τῇδε, περὶ φιλοσοφίας ὅπως ἔχοι τὰ νῦν,
asked-in-turn the here about philosophy how it-stood the now
περί τε τῶν νέων, εἴ τινες ἐν αὐτοῖς διαφέροντες
about both the young whether any among them distinguished
ἢ σοφίᾳ ἢ κάλλει ἢ ἀμφοτέροις ἐγγεγονότες εἶεν.
either in-wisdom or in-beauty or in-both having-come-to-be might-be
καὶ ὁ Κριτίας ἀποβλέψας πρὸς τὴν θύραν, ἰδών τινας 154
and — Critias having-looked-off toward the door having-seen some
νεανίσκους εἰσιόντας καὶ λοιδορουμένους ἀλλήλοις καὶ
young-men entering and abusing one-another and
ἄλλον ὄχλον ὄπισθεν ἑπόμενον, περὶ μὲν τῶν καλῶν, ἔφη,
other crowd behind following about indeed the beautiful he-said
ὦ Σώκρατες, αὐτίκα μοι δοκεῖς εἴσεσθαι· οὗτοι γὰρ
O Socrates at-once to-me you-seem to-be-going-to-know these for
τυγχάνουσιν οἱ εἰσιόντες πρόδρομοί τε καὶ ἐρασταὶ ὄντες
happen the entering forerunners both and lovers being
τοῦ δοκοῦντος καλλίστου εἶναι τά γε δὴ νῦν, φαίνεται
of-the-one seeming most-beautiful to-be the at-least indeed now he-appears
δέ μοι καὶ αὐτὸς ἐγγὺς ἤδη που εἶναι προσιών.
and to-me also himself near already somewhere to-be approaching
ἔστιν δέ, ἦν δ' ἐγώ, τίς τε καὶ τοῦ;
he-is and said — I who both and whose
οἶσθά που σύ γε, ἔφη, ἀλλ' οὔπω ἐν ἡλικίᾳ ἦν πρίν b
you-know surely you at-least he-said but not-yet in age he-was before
σε ἀπιέναι, Χαρμίδην τὸν τοῦ Γλαύκωνος τοῦ ἡμετέρου
you to-depart Charmides the — (son)-of-Glaucon the our
θείου ὑόν, ἐμὸν δὲ ἀνεψιόν.
uncle son my and cousin

οἶδα μέντοι νὴ Δία, ἦν δ' ἐγώ· οὐ γάρ τι φαῦλος οὐδὲ
I-know indeed by Zeus said — I not for at-all bad even
τότε ἦν ἔτι παῖς ὤν, νῦν δ' οἶμαί που εὖ μάλα ἂν
then he-was still child being now and I-think surely very much —
ἤδη μειράκιον εἴη.
already a-lad he-would-be
αὐτίκα, ἔφη, εἴσῃ καὶ ἡλίκος καὶ οἷος γέγονεν.
at-once he-said you-will-know both how-old and of-what-sort he-has-become
καὶ ἅμα ταῦτ' αὐτοῦ λέγοντος ὁ Χαρμίδης εἰσέρχεται.
and at-once these-things him saying — Charmides comes-in
c ἐμοὶ μὲν οὖν, ὦ ἑταῖρε, οὐδὲν σταθμητόν· ἀτεχνῶς γὰρ
to-me indeed then O comrade nothing measurable simply for
λευκὴ στάθμη εἰμὶ πρὸς τοὺς καλούς — σχεδὸν γάρ τί
a-white line I-am toward the beautiful nearly for at-all
μοι πάντες οἱ ἐν τῇ ἡλικίᾳ καλοὶ φαίνονται — ἀτὰρ
to-me all the in the age beautiful appear but
οὖν δὴ καὶ τότε ἐκεῖνος ἐμοὶ θαυμαστὸς ἐφάνη τό τε
then indeed also then that-one to-me wonderful appeared the both
μέγεθος καὶ τὸ κάλλος, οἱ δὲ δὴ ἄλλοι πάντες ἐρᾶν
stature and the beauty the and indeed others all to-love
ἔμοιγε ἐδόκουν αὐτοῦ — οὕτως ἐκπεπληγμένοι τε καὶ
to-me-at-least seemed him so astounded both and
τεθορυβημένοι ἦσαν, ἡνίκ' εἰσῄει — πολλοὶ δὲ δὴ ἄλλοι
thrown-into-confusion they-were when he-came-in many and indeed other
ἐρασταὶ καὶ ἐν τοῖς ὄπισθεν εἵποντο. καὶ τὸ μὲν ἡμέτερον
lovers also in the behind followed and the indeed our
τὸ τῶν ἀνδρῶν ἧττον θαυμαστὸν ἦν· ἀλλ' ἐγὼ καὶ τοῖς
the of-the men less wonderful was but I also to-the
παισὶ προσέσχον τὸν νοῦν, ὡς οὐδεὶς ἄλλοσ' ἔβλεπεν αὐτῶν,
boys applied the mind how no-one elsewhere looked of-them
οὐδ' ὅστις σμικρότατος ἦν, ἀλλὰ πάντες ὥσπερ ἄγαλμα
not-even who smallest was but all as a-statue

ἐθεῶντο αὐτόν. καὶ ὁ Χαιρεφῶν καλέσας με, τί σοι
gazed-at him and — Chaerephon having-called me how to-you
φαίνεται ὁ νεανίσκος, ἔφη, ὦ Σώκρατες; οὐκ εὐπρόσωπος;
appears the young-man he-said O Socrates not fair-faced
ὑπερφυῶς, ἦν δ' ἐγώ.
exceedingly said — I
οὗτος μέντοι, ἔφη, εἰ ἐθέλοι ἀποδῦναι, δόξει σοι
this-one however he-said if he-should-be-willing to-strip will-seem to-you
ἀπρόσωπος εἶναι· οὕτως τὸ εἶδος πάγκαλός ἐστιν.
faceless to-be so in-the form all-beautiful he-is
συνέφασαν οὖν καὶ οἱ ἄλλοι ταὐτὰ ταῦτα τῷ Χαιρεφῶντι·
agreed then also the others the-same these-things — with-Chaerephon
κἀγώ, Ἡράκλεις, ἔφην, ὡς ἄμαχον λέγετε τὸν ἄνδρα, εἰ
and-I Heracles I-said how irresistible you-call the man if
ἔτι αὐτῷ ἓν δὴ μόνον τυγχάνει προσὸν σμικρόν τι.
further to-him one indeed only happens being-present small something
τί; ἔφη ὁ Κριτίας.
what said — Critias
εἰ τὴν ψυχήν, ἦν δ' ἐγώ, τυγχάνει εὖ πεφυκώς. πρέπει δέ e
if the soul said — I he-happens well natured it-befits and
που, ὦ Κριτία, τοιοῦτον αὐτὸν εἶναι τῆς γε ὑμετέρας
surely O Critias such him to-be of-the at-least your
ὄντα οἰκίας.
being house
ἀλλ', ἔφη, πάνυ καλὸς καὶ ἀγαθός ἐστιν καὶ ταῦτα.
but he-said very fine and good he-is also in-these-things
τί οὖν, ἔφην, οὐκ ἀπεδύσαμεν αὐτοῦ αὐτὸ τοῦτο καὶ
why then I-said not have-we-stripped of-him itself this and
ἐθεασάμεθα πρότερον τοῦ εἴδους; πάντως γάρ που
gazed-at before the form in-every-way for surely
τηλικοῦτος ὢν ἤδη ἐθέλει διαλέγεσθαι.
of-such-an-age being already he-wishes to-converse

Calling Charmides a philosopher and poet, Critias has him called on the pretext that Socrates knows a cure for his morning headaches. The boy's arrival causes a scramble on the benches; Socrates glimpses inside his cloak and is inflamed, but recovers and names the remedy: a leaf, useless without a charm. As good doctors treat the eye with the head and the head with the body, the Thracian doctors of Zalmoxis treat the body with the soul, by fair words that produce temperance. Socrates has sworn to give the leaf only after the charm. Critias says Charmides is the most temperate of his age.

155 καὶ πάνυ γε, ἔφη ὁ Κριτίας, ἐπεί τοι καὶ ἔστιν
and very at-least said — Critias since surely also he-is
φιλόσοφός τε καί, ὡς δοκεῖ ἄλλοις τε καὶ ἑαυτῷ, πάνυ
philosophical both and as it-seems to-others both and to-himself very
ποιητικός.
poetic
τοῦτο μέν, ἦν δ' ἐγώ, ὦ φίλε Κριτία, πόρρωθεν ὑμῖν
this indeed said — I O dear Critias from-afar to-you
τὸ καλὸν ὑπάρχει ἀπὸ τῆς Σόλωνος συγγενείας. ἀλλὰ τί
the fine belongs from the of-Solon kinship but why
οὐκ ἐπέδειξάς μοι τὸν νεανίαν καλέσας δεῦρο; οὐδὲ γὰρ
not did-you-show me the young-man having-called hither not-even for
ἄν που εἰ ἔτι ἐτύγχανε νεώτερος ὤν, αἰσχρὸν ἂν ἦν
— surely if still he-happened younger being shameful — it-would-be
αὐτῷ διαλέγεσθαι ἡμῖν ἐναντίον γε σοῦ, ἐπιτρόπου τε
for-him to-converse with-us before at-least you guardian both
ἅμα καὶ ἀνεψιοῦ ὄντος.
at-once and cousin being
b ἀλλὰ καλῶς, ἔφη, λέγεις, καὶ καλοῦμεν αὐτόν. καὶ ἅμα
but finely he-said you-speak and we-call him and at-once
πρὸς τὸν ἀκόλουθον, Παῖ, ἔφη, κάλει Χαρμίδην, εἰπὼν ὅτι
to the attendant Boy he-said call Charmides saying that

βούλομαι αὐτὸν ἰατρῷ συστῆσαι περὶ τῆς ἀσθενείας ἧς
I-wish him to-a-doctor to-introduce about the weakness which
πρῴην πρός με ἔλεγεν ὅτι ἀσθενοῖ. πρὸς οὖν ἐμὲ ὁ
the-day-before-yesterday to me he-said that he-is-weak to then me —
Κριτίας, Ἔναγχός τοι ἔφη βαρύνεσθαί τι τὴν κεφαλὴν
Critias Lately surely he-said to-be-heavy somewhat in-the head
ἕωθεν ἀνιστάμενος· ἀλλὰ τί σε κωλύει προσποιήσασθαι
at-dawn getting-up but what you hinders to-pretend
πρὸς αὐτὸν ἐπίστασθαί τι κεφαλῆς φάρμακον;
to him to-know some of-head remedy
οὐδέν, ἦν δ' ἐγώ· μόνον ἐλθέτω.
nothing said — I only let-him-come
ἀλλ' ἥξει, ἔφη.
but he-will-come he-said
ὃ οὖν καὶ ἐγένετο. ἦκε γάρ, καὶ ἐποίησε γέλωτα πολύν· c
which then also happened he-came for and made laughter much
ἕκαστος γὰρ ἡμῶν τῶν καθημένων συγχωρῶν τὸν πλησίον
each for of-us the seated pushing the neighbor
ἐώθει σπουδῇ, ἵνα παρ' αὑτῷ καθέζοιτο, ἕως τῶν ἐπ'
shoved eagerly so-that beside himself he-might-sit until of-those at
ἐσχάτῳ καθημένων τὸν μὲν ἀνεστήσαμεν, τὸν δὲ
end seated the-one indeed we-made-stand-up the-other and
πλάγιον κατεβάλομεν. ὁ δ' ἐλθὼν μεταξὺ ἐμοῦ τε καὶ
sideways we-threw-down he and having-come between me both and
τοῦ Κριτίου ἐκαθέζετο. ἐνταῦθα μέντοι, ὦ φίλε, ἐγὼ ἤδη
— Critias sat-down there however O friend I already
ἠπόρουν, καί μου ἡ πρόσθεν θρασύτης ἐξεκέκοπτο, ἣν
was-at-a-loss and of-me the before boldness had-been-knocked-out which
εἶχον ἐγὼ ὡς πάνυ ῥᾳδίως αὐτῷ διαλεξόμενος· ἐπειδὴ δέ,
had I as very easily with-him going-to-converse when and
φράσαντος τοῦ Κριτίου ὅτι ἐγὼ εἴην ὁ τὸ φάρμακον
having-told — Critias that I was the-one the remedy

ἐπιστάμενος, ἐνέβλεψέν τέ μοι τοῖς ὀφθαλμοῖς ἀμήχανόν
knowing he-looked both at-me with-the eyes indescribable
τι οἷον καὶ ἀνήγετο ὡς ἐρωτήσων, καὶ οἱ ἐν τῇ
something how and he-was-drawing-up as going-to-ask and those in the
παλαίστρᾳ ἅπαντες περιέρρεον ἡμᾶς κύκλῳ κομιδῇ, τότε
wrestling-school all flowed-around us in-a-circle altogether then
δή, ὦ γεννάδα, εἶδόν τε τὰ ἐντὸς τοῦ ἱματίου καὶ
indeed O noble-one I-saw both the-things inside the cloak and
ἐφλεγόμην καὶ οὐκέτ' ἐν ἐμαυτοῦ ἦν καὶ ἐνόμισα σοφώτατον
I-was-inflamed and no-longer in my-own-senses was and I-thought wisest
εἶναι τὸν Κυδίαν τὰ ἐρωτικά, ὃς εἶπεν ἐπὶ καλοῦ λέγων
to-be — Cydias in-the love-matters who said about a-beautiful speaking
παιδός, ἄλλῳ ὑποτιθέμενος, εὐλαβεῖσθαι μὴ κατέναντα
boy to-another advising to-beware lest opposite
λέοντος νεβρὸν ἐλθόντα μοῖραν αἱρεῖσθαι κρεῶν· αὐτὸς
a-lion a-fawn having-come portion to-be-taken of-meat myself
γάρ μοι ἐδόκουν ὑπὸ τοῦ τοιούτου θρέμματος ἑαλωκέναι.
for to-me I-seemed by the such creature to-have-been-caught
ὅμως δὲ αὐτοῦ ἐρωτήσαντος εἰ ἐπισταίμην τὸ τῆς κεφαλῆς
nevertheless and him having-asked if I-knew the of-the head
φάρμακον, μόγις πως ἀπεκρινάμην ὅτι ἐπισταίμην.
remedy with-difficulty somehow I-answered that I-knew
τί οὖν, ἦ δ' ὅς, ἐστίν;
what then said — he is-it
καὶ ἐγὼ εἶπον ὅτι αὐτὸ μὲν εἴη φύλλον τι, ἐπῳδὴ δέ
and I said that it indeed was a-leaf some a-charm and
τις ἐπὶ τῷ φαρμάκῳ εἴη, ἣν εἰ μέν τις ἐπᾴδοι ἅμα
some with the remedy there-was which if indeed anyone should-sing at-once
καὶ χρῷτο αὐτῷ, παντάπασιν ὑγιᾶ ποιοῖ τὸ φάρμακον·
and should-use it altogether healthy would-make the remedy
ἄνευ δὲ τῆς ἐπῳδῆς οὐδὲν ὄφελος εἴη τοῦ φύλλου.
without but the charm no use there-was of-the leaf

καὶ ὅς, Ἀπογράψομαι τοίνυν, ἔφη, παρὰ σοῦ τὴν ἐπῳδήν. 156
and he I-will-write-down then he-said from you the charm
πότερον, ἦν δ' ἐγώ, ἐάν με πείθῃς ἢ κἂν μή;
whether said — I if me you-persuade or even-if not
γελάσας οὖν, ἐάν σε πείθω, ἔφη, ὦ Σώκρατες.
having-laughed then if you I-persuade he-said O Socrates
εἶεν, ἦν δ' ἐγώ· καὶ τοὔνομά μου σὺ ἀκριβοῖς;
well said — I and the-name of-me you know-exactly
εἰ μὴ ἀδικῶ γε, ἔφη· οὐ γάρ τι σοῦ ὀλίγος λόγος
if not I-do-wrong at-least he-said not for at-all of-you little talk
ἐστὶν ἐν τοῖς ἡμετέροις ἡλικιώταις, μέμνημαι δὲ ἔγωγε
is among the our age-mates I-remember and I-at-least
καὶ παῖς ὢν Κριτίᾳ τῷδε συνόντα σε.
also child being with-Critias here being-with you
καλῶς γε σύ, ἦν δ' ἐγώ, ποιῶν· μᾶλλον γάρ σοι b
finely at-least you said — I doing more for to-you
παρρησιάσομαι περὶ τῆς ἐπῳδῆς οἵα τυγχάνει οὖσα·
I-will-speak-freely about the charm of-what-sort it-happens being
ἄρτι δ' ἠπόρουν τίνι τρόπῳ σοι ἐνδειξαίμην τὴν
just-now and I-was-at-a-loss in-what way to-you I-might-show the
δύναμιν αὐτῆς. ἔστι γάρ, ὦ Χαρμίδη, τοιαύτη οἵα μὴ
power of-it it-is for O Charmides such as not
δύνασθαι τὴν κεφαλὴν μόνον ὑγιᾶ ποιεῖν, ἀλλ' ὥσπερ
to-be-able the head alone healthy to-make but as
ἴσως ἤδη καὶ σὺ ἀκήκοας τῶν ἀγαθῶν ἰατρῶν, ἐπειδάν
perhaps already also you have-heard of-the good doctors whenever
τις αὐτοῖς προσέλθῃ τοὺς ὀφθαλμοὺς ἀλγῶν, λέγουσί που
anyone to-them comes the eyes aching they-say surely
ὅτι οὐχ οἷόν τε αὐτοὺς μόνους ἐπιχειρεῖν τοὺς ὀφθαλμοὺς
that not possible — them alone to-attempt the eyes
ἰᾶσθαι, ἀλλ' ἀναγκαῖον εἴη ἅμα καὶ τὴν κεφαλὴν θεραπεύειν,
to-heal but necessary it-is at-once also the head to-tend

εἰ μέλλοι καὶ τὰ τῶν ὀμμάτων εὖ ἔχειν· καὶ αὖ τὸ τὴν
if is-to also the of-the eyes well to-be and again the the
κεφαλὴν οἴεσθαι ἄν ποτε θεραπεῦσαι αὐτὴν ἐφ' ἑαυτῆς ἄνευ
head to-think — ever to-tend it by itself without
ὅλου τοῦ σώματος πολλὴν ἄνοιαν εἶναι. ἐκ δὴ τούτου
whole the body much folly to-be from indeed this
τοῦ λόγου διαίταις ἐπὶ πᾶν τὸ σῶμα τρεπόμενοι μετὰ τοῦ
the reasoning by-regimens to whole the body turning with the
ὅλου τὸ μέρος ἐπιχειροῦσιν θεραπεύειν τε καὶ ἰᾶσθαι· ἢ
whole the part they-attempt to-tend both and to-heal or
οὐκ ᾔσθησαι ὅτι ταῦτα οὕτως λέγουσίν τε καὶ ἔχει;
not have-you-perceived that these-things so they-say both and it-is
πάνυ γε, ἔφη.
certainly at-least he-said
οὐκοῦν καλῶς σοι δοκεῖ λέγεσθαι καὶ ἀποδέχῃ τὸν λόγον;
therefore finely to-you it-seems to-be-said and do-you-accept the reasoning
πάντων μάλιστα, ἔφη.
of-all most he-said
d καὐγὼ ἀκούσας αὐτοῦ ἐπαινέσαντος ἀνεθάρρησά τε, καί
and-I having-heard him having-praised took-heart-again both and
μοι κατὰ σμικρὸν πάλιν ἡ θρασύτης συνηγείρετο, καὶ
to-me by little again the boldness gathered and
ἀνεζωπυρούμην. καὶ εἶπον· τοιοῦτον τοίνυν ἐστίν, ὦ Χαρμίδη,
I-was-rekindled and said such then is O Charmides
καὶ τὸ ταύτης τῆς ἐπῳδῆς. ἔμαθον δ' αὐτὴν ἐγὼ ἐκεῖ ἐπὶ
also the of-this the charm I-learned and it I there on
στρατιᾶς παρά τινος τῶν Θρᾳκῶν τῶν Ζαλμόξιδος ἰατρῶν,
campaign from one of-the Thracians of-the of-Zalmoxis doctors
οἳ λέγονται καὶ ἀπαθανατίζειν. ἔλεγεν δὲ ὁ Θρᾷξ οὗτος
who are-said even to-make-immortal said and the Thracian this-one
ὅτι ταῦτα μὲν οἱ Ἕλληνες, ἃ νυνδὴ ἐγὼ ἔλεγον, καλῶς
that these-things indeed the Greeks which just-now I was-saying finely

λέγοιεν· ἀλλὰ Ζάλμοξις, ἔφη, λέγει ὁ ἡμέτερος βασιλεύς,
might-say but Zalmoxis he-said says the our king
θεὸς ὤν, ὅτι ὥσπερ ὀφθαλμοὺς ἄνευ κεφαλῆς οὐ δεῖ
god being that as eyes without head not it-is-needful
ἐπιχειρεῖν ἰᾶσθαι οὐδὲ κεφαλὴν ἄνευ σώματος, οὕτως οὐδὲ
to-attempt to-heal nor head without body so nor
σῶμα ἄνευ ψυχῆς, ἀλλὰ τοῦτο καὶ αἴτιον εἴη τοῦ διαφεύγειν
body without soul but this also cause was of-the escaping
τοὺς παρὰ τοῖς Ἕλλησιν ἰατροὺς τὰ πολλὰ νοσήματα, ὅτι
the among the Greeks doctors the many diseases that
τοῦ ὅλου ἀμελοῖεν οὗ δέοι τὴν ἐπιμέλειαν ποιεῖσθαι,
the whole they-neglected of-which it-was-needful the care to-make
οὗ μὴ καλῶς ἔχοντος ἀδύνατον εἴη τὸ μέρος εὖ ἔχειν.
which not well being impossible was the part well to-be
πάντα γὰρ ἔφη ἐκ τῆς ψυχῆς ὡρμῆσθαι καὶ τὰ κακὰ 157
all-things for he-said from the soul have-started both the bad
καὶ τὰ ἀγαθὰ τῷ σώματι καὶ παντὶ τῷ ἀνθρώπῳ, καὶ
and the good for-the body and for-whole the human and
ἐκεῖθεν ἐπιρρεῖν ὥσπερ ἐκ τῆς κεφαλῆς ἐπὶ τὰ ὄμματα·
from-there to-flow-in as from the head to the eyes
δεῖν οὖν ἐκεῖνο καὶ πρῶτον καὶ μάλιστα θεραπεύειν, εἰ
it-is-needful then that both first and most to-tend if
μέλλει καὶ τὰ τῆς κεφαλῆς καὶ τὰ τοῦ ἄλλου σώματος
is-to both the of-the head and the of-the other body
καλῶς ἔχειν. θεραπεύεσθαι δὲ τὴν ψυχὴν ἔφη, ὦ μακάριε,
well to-be to-be-tended and the soul he-said O blessed-one
ἐπῳδαῖς τισιν, τὰς δ’ ἐπῳδὰς ταύτας τοὺς λόγους εἶναι
by-charms some the and charms these the words to-be
τοὺς καλούς· ἐκ δὲ τῶν τοιούτων λόγων ἐν ταῖς ψυχαῖς
the fine from and the such words in the souls
σωφροσύνην ἐγγίγνεσθαι, ἧς ἐγγενομένης καὶ παρούσης
temperance to-come-to-be which having-come-to-be and being-present

ῥᾴδιον ἤδη εἶναι τὴν ὑγίειαν καὶ τῇ κεφαλῇ καὶ τῷ
easy already to-be the health both to-the head and to-the
ἄλλῳ σώματι πορίζειν. διδάσκων οὖν με τό τε φάρμακον
other body to-provide teaching then me the both remedy
καὶ τὰς ἐπῳδάς, "ὅπως," ἔφη, "τῷ φαρμάκῳ τούτῳ
and the charms so-that he-said with-the remedy this
μηδείς σε πείσει τὴν αὑτοῦ κεφαλὴν θεραπεύειν, ὃς
no-one you will-persuade the his-own head to-tend who
ἂν μὴ τὴν ψυχὴν πρῶτον παράσχῃ τῇ ἐπῳδῇ ὑπὸ σοῦ
— not the soul first offers to-the charm by you
θεραπευθῆναι. καὶ γὰρ νῦν," ἔφη, "τοῦτ' ἔστιν τὸ ἁμάρτημα
to-be-tended and for now he-said this is the error
περὶ τοὺς ἀνθρώπους, ὅτι χωρὶς ἑκατέρου, σωφροσύνης τε
about the humans that apart-from each temperance both
καὶ ὑγιείας, ἰατροί τινες ἐπιχειροῦσιν εἶναι·" καί μοι πάνυ
and health doctors some attempt to-be and me very
σφόδρα ἐνετέλλετο μήτε πλούσιον οὕτω μηδένα εἶναι μήτε
greatly he-charged neither rich so anyone to-be nor
γενναῖον μήτε καλόν, ὃς ἐμὲ πείσει ἄλλως ποιεῖν. ἐγὼ
noble nor beautiful who me will-persuade otherwise to-do I
οὖν — ὀμώμοκα γὰρ αὐτῷ, καί μοι ἀνάγκη πείθεσθαι —
then I-have-sworn for to-him and for-me necessity to-obey
πείσομαι οὖν, καὶ σοί, ἐὰν μὲν βούλῃ κατὰ τὰς τοῦ ξένου
I-will-obey then and you if indeed you-wish according-to the of-the stranger
ἐντολὰς τὴν ψυχὴν πρῶτον παρασχεῖν ἐπᾷσαι ταῖς τοῦ
instructions the soul first to-offer to-be-sung-to with-the of-the
Θρᾳκὸς ἐπῳδαῖς, προσοίσω τὸ φάρμακον τῇ κεφαλῇ· εἰ
Thracian charms I-will-apply the remedy to-the head if
δὲ μή, οὐκ ἂν ἔχοιμεν ὅτι ποιοῖμέν σοι, ὦ φίλε Χαρμίδη.
but not not — we-could-have what we-might-do for-you O dear Charmides

ἀκούσας οὖν μου ὁ Κριτίας ταῦτ᾽ εἰπόντος, Ἕρμαιον, d
having-heard then me — Critias these-things having-said A-godsend
ἔφη, ὦ Σώκρατες, γεγονὸς ἂν εἴη ἡ τῆς κεφαλῆς
he-said O Socrates having-become — would-be the of-the head
ἀσθένεια τῷ νεανίσκῳ, εἰ ἀναγκασθήσεται καὶ τὴν
weakness for-the young-man if he-will-be-compelled also the
διάνοιαν διὰ τὴν κεφαλὴν βελτίων γενέσθαι. λέγω
mind because-of the head better to-become I-say
μέντοι σοι ὅτι Χαρμίδης τῶν ἡλικιωτῶν οὐ μόνον τῇ
however to-you that Charmides of-the age-mates not only in-the
ἰδέᾳ δοκεῖ διαφέρειν, ἀλλὰ καὶ αὐτῷ τούτῳ, οὗ σὺ
form seems to-excel but also in-very this of-which you
φῂς τὴν ἐπῳδὴν ἔχειν· φῂς δὲ σωφροσύνης· ἦ γάρ;
say the charm to-have you-say and of-temperance is-it-not for
πάνυ γε, ἦν δ᾽ ἐγώ.
certainly at-least said — I
εὖ τοίνυν ἴσθι, ἔφη, ὅτι πάνυ πολὺ δοκεῖ σωφρονέστατος
well then know he-said that very much he-seems most-temperate
εἶναι τῶν νυνί, καὶ τἆλλα πάντα, εἰς ὅσον ἡλικίας
to-be of-those now and in-the-other-things all as far-as of-age
ἥκει, οὐδενὸς χείρων ὤν.
he-has-come of-none worse being

III · TEMPERANCE AS QUIETNESS

Socrates praises Charmides' lineage, from Critias son of Dropides, celebrated by Anacreon and Solon, and from Pyrilampes. If he is already temperate he needs no charm. Charmides blushes: he cannot affirm it without praising himself or deny it without calling Critias a liar. They agree to examine what he thinks temperance is: doing everything orderly and quietly. But in writing, reading, lyre-playing, wrestling, and running the quick is finer, so in the body quickness is more temperate; quick learning, teaching, and remembering are finer too.

e καὶ γάρ, ἦν δ' ἐγώ, καὶ δίκαιον, ὦ Χαρμίδη, διαφέρειν σε
and for said — I also just O Charmides to-excel you
τῶν ἄλλων πᾶσιν τοῖς τοιούτοις· οὐ γὰρ οἶμαι ἄλλον οὐδένα
the others in-all the such-things not for I-think other anyone
τῶν ἐνθάδε ῥᾳδίως ἂν ἔχειν ἐπιδεῖξαι ποῖαι δύο οἰκίαι
of-those here easily — to-be-able to-show what-sort two houses
συνελθοῦσαι εἰς ταὐτὸν τῶν Ἀθήνησιν ἐκ τῶν εἰκότων
having-come-together into the-same of-those at-Athens from the likely
καλλίω ἂν καὶ ἀμείνω γεννήσειαν ἢ ἐξ ὧν σὺ γέγονας.
finer — and better would-beget than from which you have-been-born
158 ἥ τε γὰρ πατρῴα ὑμῖν οἰκία, ἡ Κριτίου τοῦ Δρωπίδου, καὶ
the both for paternal your house the of-Critias the (son)-of-Dropides both
ὑπὸ Ἀνακρέοντος καὶ ὑπὸ Σόλωνος καὶ ὑπ' ἄλλων πολλῶν
by Anacreon and by Solon and by other many
ποιητῶν ἐγκεκωμιασμένη παραδέδοται ἡμῖν, ὡς διαφέρουσα
poets eulogized has-been-handed-down to-us as excelling
κάλλει τε καὶ ἀρετῇ καὶ τῇ ἄλλῃ λεγομένῃ εὐδαιμονίᾳ,
in-beauty both and in-virtue and in-the other so-called happiness
καὶ αὖ ἡ πρὸς μητρὸς ὡσαύτως· Πυριλάμπους γὰρ τοῦ
and again the on mother's-side likewise than-Pyrilampes for the
σοῦ θείου οὐδεὶς τῶν ἐν τῇ ἠπείρῳ λέγεται καλλίων καὶ
your uncle no-one of-those on the mainland is-said finer and
μείζων ἀνὴρ δόξαι εἶναι, ὁσάκις ἐκεῖνος ἢ παρὰ μέγαν
greater man to-have-seemed to-be whenever that-one either to great
βασιλέα ἢ παρὰ ἄλλον τινὰ τῶν ἐν τῇ ἠπείρῳ πρεσβεύων
king or to other some of-those on the mainland on-embassy
ἀφίκετο, σύμπασα δὲ αὕτη ἡ οἰκία οὐδὲν τῆς ἑτέρας
came all-together and this the house nothing than-the other
ὑποδεεστέρα. ἐκ δὴ τοιούτων γεγονότα εἰκός σε εἰς
inferior from indeed such having-been-born likely you in
πάντα πρῶτον εἶναι. τὰ μὲν οὖν ὁρώμενα τῆς ἰδέας, ὦ φίλε
all first to-be the indeed then seen-things of-the form O dear

παῖ Γλαύκωνος, δοκεῖς μοι οὐδένα τῶν πρὸ σοῦ ἐν οὐδενὶ
son of-Glaucon you-seem to-me none of-those before you in anything
ὑποβεβηκέναι· εἰ δὲ δὴ καὶ πρὸς σωφροσύνην καὶ πρὸς
to-have-fallen-short if but indeed also toward temperance and toward
τἆλλα κατὰ τὸν τοῦδε λόγον ἱκανῶς πέφυκας,
the-other-things according-to the of-this-one account sufficiently you-are-by-nature
μακάριόν σε, ἦν δ' ἐγώ, ὦ φίλε Χαρμίδη, ἡ μήτηρ ἔτικτεν.
blessed you said — I O dear Charmides the mother bore
ἔχει δ' οὖν οὕτως. εἰ μέν σοι ἤδη πάρεστιν, ὡς c
it-is and anyway thus if indeed to-you already is-present as
λέγει Κριτίας ὅδε, σωφροσύνη καὶ εἶ σώφρων ἱκανῶς,
says Critias here temperance and you-are temperate sufficiently
οὐδὲν ἔτι σοι ἔδει οὔτε τῶν Ζαλμόξιδος οὔτε τῶν
nothing further to-you would-be-needed either of-the of-Zalmoxis or of-the
Ἀβάριδος τοῦ Ὑπερβορέου ἐπῳδῶν, ἀλλ' αὐτό σοι ἂν ἤδη
of-Abaris the Hyperborean charms but itself to-you — already
δοτέον εἴη τὸ τῆς κεφαλῆς φάρμακον· εἰ δ' ἔτι τούτων
must-be-given would-be the of-the head remedy if but still of-these
ἐπιδεὴς εἶναι δοκεῖς, ἐπᾳστέον πρὸ τῆς τοῦ φαρμάκου
lacking to-be you-seem it-must-be-sung before the of-the remedy
δόσεως. αὐτὸς οὖν μοι εἰπὲ πότερον ὁμολογεῖς τῷδε
giving yourself then to-me say whether you-agree with-this-one
καὶ φὴς ἱκανῶς ἤδη σωφροσύνης μετέχειν ἢ ἐνδεὴς εἶναι;
and say sufficiently already of-temperance to-partake or lacking to-be
ἀνερυθριάσας οὖν ὁ Χαρμίδης πρῶτον μὲν ἔτι καλλίων d
having-blushed then — Charmides first indeed still more-beautiful
ἐφάνη — καὶ γὰρ τὸ αἰσχυντηλὸν αὐτοῦ τῇ ἡλικίᾳ
appeared and for the bashfulness of-him to-the age
ἔπρεψεν — ἔπειτα καὶ οὐκ ἀγεννῶς ἀπεκρίνατο· εἶπεν γὰρ
befitted then also not ignobly he-answered he-said for
ὅτι οὐ ῥᾴδιον εἴη ἐν τῷ παρόντι οὔθ' ὁμολογεῖν οὔτε
that not easy it-was in the present either to-agree or

ἐξάρνῳ εἶναι τὰ ἐρωτώμενα. ἐὰν μὲν γάρ, ἦ δ' ὅς, μὴ
denying to-be the things-asked if indeed for said — he not
φῶ εἶναι σώφρων, ἅμα μὲν ἄτοπον αὐτὸν καθ' ἑαυτοῦ
I-say to-be temperate at-once indeed strange himself against himself
τοιαῦτα λέγειν, ἅμα δὲ καὶ Κριτίαν τόνδε ψευδῆ ἐπιδείξω
such-things to-say at-once and also Critias here false I-will-show
καὶ ἄλλους πολλούς, οἷς δοκῶ εἶναι σώφρων, ὡς ὁ
and others many to-whom I-seem to-be temperate as the
τούτου λόγος· ἐὰν δ' αὖ φῶ καὶ ἐμαυτὸν ἐπαινῶ, ἴσως
of-this-one account if but again I-say and myself I-praise perhaps
ἐπαχθὲς φανεῖται. ὥστε οὐκ ἔχω ὅτι σοι ἀποκρίνωμαι.
offensive it-will-appear so-that not I-have what to-you I-should-answer
e καὶ ἐγὼ εἶπον ὅτι μοι εἰκότα φαίνῃ λέγειν, ὦ
and I said that to-me likely-things you-appear to-say O
Χαρμίδη. καί μοι δοκεῖ, ἦν δ' ἐγώ, κοινῇ ἂν εἴη
Charmides and to-me it-seems said — I in-common — it-would-be
σκεπτέον εἴτε κέκτησαι εἴτε μὴ ὃ πυνθάνομαι, ἵνα
to-be-considered whether you-have-acquired or not what I-inquire so-that
μήτε σὺ ἀναγκάζῃ λέγειν ἃ μὴ βούλει, μήτ' αὖ ἐγὼ
neither you be-compelled to-say what not you-wish nor again I
ἀσκέπτως ἐπὶ τὴν ἰατρικὴν τρέπωμαι. εἰ οὖν σοι
without-consideration to the medicine turn if then to-you
φίλον, ἐθέλω σκοπεῖν μετὰ σοῦ· εἰ δὲ μή, ἐᾶν.
dear I-wish to-consider with you if but not to-let-be
ἀλλὰ πάντων μάλιστα, ἔφη, φίλον· ὥστε τούτου γε
but of-all most be-said dear so-that of-this at-least
ἕνεκα, ὅπῃ αὐτὸς οἴει βέλτιον σκέψασθαι, ταύτῃ
for-the-sake in-whatever-way yourself think better to-consider in-this-way
σκόπει.
consider

τῇδε τοίυυν, ἔφην ἐγώ, δοκεῖ μοι βελτίστη εἶναι ἡ
in-this-way then I-said I it-seems to-me best to-be the
σκέψις περὶ αὐτοῦ.
inquiry about it
δῆλον γὰρ ὅτι εἴ σοι πάρεστιν σωφροσύνη, ἔχεις τι 159
clear for that if to-you is-present temperance you-have something
περὶ αὐτῆς δοξάζειν. ἀνάγκη γάρ που ἐνοῦσαν αὐτήν,
about it to-opine necessity for surely being-in it
εἴπερ ἔνεστιν, αἴσθησίν τινα παρέχειν, ἐξ ἧς δόξα ἄν
if-indeed it-is-in perception some to-provide from which opinion —
τίς σοι περὶ αὐτῆς εἴη ὅτι ἐστὶν καὶ ὁποῖόν τι ἡ
some to-you about it would-be what it-is and of-what-sort — the
σωφροσύνη· ἢ οὐκ οἴει;
temperance or not you-think
ἔγωγε, ἔφη, οἶμαι.
I-at-least he-said think
οὐκοῦν τοῦτό γε, ἔφην, ὃ οἴει, ἐπειδήπερ ἑλληνίζειν
therefore this at-least I-said what you-think since to-speak-Greek
ἐπίστασαι, κἂν εἴποις δήπου αὐτὸ ὅτι σοι φαίνεται;
you-know also you-could-say surely it what to-you it-appears
ἴσως, ἔφη.
perhaps he-said
ἵνα τοίυυν τοπάσωμεν εἴτε σοι ἔνεστιν εἴτε μή, εἰπέ,
so-that then we-may-guess whether in-you it-is or not say
ἦν δ' ἐγώ, τί φῂς εἶναι σωφροσύνην κατὰ τὴν σὴν
said — I what do-you-say to-be temperance according-to the your
δόξαν.
opinion
καὶ ὃς τὸ μὲν πρῶτον ὤκνει τε καὶ οὐ πάνυ ἤθελεν b
and he the indeed first hesitated both and not very was-willing
ἀποκρίνασθαι· ἔπειτα μέντοι εἶπεν ὅτι οἱ δοκοῖ
to-answer then however he-said that to-him it-seemed

σωφροσύνη εἶναι τὸ κοσμίως πάντα πράττειν καὶ ἡσυχῇ,
temperance to-be the orderly all-things to-do and quietly
ἔν τε ταῖς ὁδοῖς βαδίζειν καὶ διαλέγεσθαι, καὶ τὰ ἄλλα
in both the streets to-walk and to-converse and the other-things
πάντα ὡσαύτως ποιεῖν. καί μοι δοκεῖ, ἔφη, συλλήβδην
all likewise to-do and to-me it-seems he-said in-sum
ἡσυχιότης τις εἶναι ὃ ἐρωτᾷς.
quietness some to-be what you-ask
c ἆρ᾽ οὖν, ἦν δ᾽ ἐγώ, εὖ λέγεις; φασί γέ τοι, ὦ Χαρμίδη,
so then said — I well do-you-speak they-say at-least surely O Charmides
τοὺς ἡσυχίους σώφρονας εἶναι· ἴδωμεν δὴ εἴ τι λέγουσιν.
the quiet temperate to-be let-us-see indeed if anything they-say
εἰπὲ γάρ μοι, οὐ τῶν καλῶν μέντοι ἡ σωφροσύνη ἐστίν;
tell for me not of-the fine-things surely the temperance is
πάνυ γε, ἔφη.
certainly at-least he-said
πότερον οὖν κάλλιστον ἐν γραμματιστοῦ τὰ ὅμοια
whether then finest at writing-master's the like
γράμματα γράφειν ταχὺ ἢ ἡσυχῇ;
letters to-write quickly or quietly
ταχύ.
quickly
τί δ᾽ ἀναγιγνώσκειν; ταχέως ἢ βραδέως;
what and to-read quickly or slowly
ταχέως.
quickly
καὶ μὲν δὴ καὶ τὸ κιθαρίζειν ταχέως καὶ τὸ παλαίειν
and indeed indeed also the to-play-the-lyre quickly and the to-wrestle
ὀξέως πολὺ κάλλιον τοῦ ἡσυχῇ τε καὶ βραδέως;
sharply much finer than-the quietly both and slowly
ναί.
yes

τί δὲ πυκτεύειν τε καὶ παγκρατιάζειν; οὐχ ὡσαύτως;
what and to-box both and to-do-the-pancration not likewise
πάνυ γε.
certainly at-least
θεῖν δὲ καὶ ἅλλεσθαι καὶ τὰ τοῦ σώματος ἅπαντα ἔργα, d
to-run and also to-leap and the of-the body all works
οὐ τὰ μὲν ὀξέως καὶ ταχὺ γιγνόμενα τὰ τοῦ καλοῦ
not the indeed sharply and quickly happening the of-the fine
ἐστιν, τὰ δὲ μόγις τε καὶ ἡσυχῇ τὰ τοῦ αἰσχροῦ;
are the but with-difficulty both and quietly the of-the shameful
φαίνεται.
it-appears
φαίνεται ἄρα ἡμῖν, ἔφην ἐγώ, κατά γε τὸ σῶμα οὐ τὸ
it-appears then to-us I-said I as-to at-least the body not the
ἡσύχιον, ἀλλὰ τὸ τάχιστον καὶ ὀξύτατον κάλλιστον ὄν.
quiet but the quickest and sharpest finest being
ἦ γάρ;
is-it-not for
πάνυ γε.
certainly at-least
ἡ δέ γε σωφροσύνη καλόν τι ἦν;
the but at-least temperance fine something was
ναί.
yes
οὐ τοίνυν κατά γε τὸ σῶμα ἡ ἡσυχιότης ἂν ἀλλ' ἡ
not then as-to at-least the body the quietness — but the
ταχυτὴς σωφρονέστερον εἴη, ἐπειδὴ καλὸν ἡ σωφροσύνη.
quickness more-temperate would-be since fine the temperance
ἔοικεν, ἔφη.
it-seems he-said
τί δέ; ἦν δ' ἐγώ, εὐμαθία κάλλιον ἢ δυσμαθία; e
what and said — I quickness-at-learning finer or slowness-at-learning

εὐμαθία.

quickness-at-learning

ἔστιν δέ γ', ἔφην, ἡ μὲν εὐμαθία ταχέως

it-is and at-least I-said the indeed quickness-at-learning quickly

μανθάνειν, ἡ δὲ δυσμαθία ἡσυχῇ καὶ βραδέως;

to-learn the and slowness-at-learning quietly and slowly

ναί.

yes

διδάσκειν δὲ ἄλλον οὐ ταχέως κάλλιον καὶ σφόδρα

to-teach and another not quickly finer and greatly

μᾶλλον ἢ ἡσυχῇ τε καὶ βραδέως;

rather than quietly both and slowly

ναί.

yes

τί δέ; ἀναμιμνῄσκεσθαι καὶ μεμνῆσθαι ἡσυχῇ τε καὶ

what and to-recollect and to-remember quietly both and

βραδέως κάλλιον ἢ σφόδρα καὶ ταχέως;

slowly finer or greatly and quickly

σφόδρ', ἔφη, καὶ ταχέως.

greatly he-said and quickly

IV · MODESTY AND DOING ONE'S OWN

Quickness of mind, understanding, and deliberation are also finer than slowness, so temperance is not quietness, nor the temperate life the quiet one. Charmides looks within and says temperance makes one ashamed: it is modesty. But temperance is good as well as fine, and Homer says modesty is not good for a needy man. Charmides then offers a definition he heard: temperance is doing one's own. Socrates suspects Critias, who denies it, and calls it a riddle, since the writing master writes others' names as well as his own, and every art does something.

ἡ δ' ἀγχίνοια οὐχὶ ὀξύτης τίς ἐστιν τῆς ψυχῆς ἀλλ' 160
the and quickness-of-wit not sharpness some is of-the soul but
οὐχὶ ἡσυχία;
not quietness
ἀληθῆ.
true
οὐκοῦν καὶ τὸ συνιέναι τὰ λεγόμενα, καὶ ἐν γραμματιστοῦ
therefore also the to-understand the things-said both at writing-master's
καὶ κιθαριστοῦ καὶ ἄλλοθι πανταχοῦ, οὐχ ὡς ἡσυχαίτατα
and lyre-master's and elsewhere everywhere not as most-quietly
ἀλλ' ὡς τάχιστά ἐστι κάλλιστα;
but as most-quickly is finest
ναί.
yes
ἀλλὰ μὴν ἔν γε ταῖς ζητήσεσιν τῆς ψυχῆς καὶ τῷ b
but indeed in at-least the searchings of-the soul and the
βουλεύεσθαι οὐχ ὁ ἡσυχιώτατος, ὡς ἐγὼ οἶμαι, καὶ
deliberating not the most-quiet as I think and
μόγις βουλευόμενός τε καὶ ἀνευρίσκων ἐπαίνου δοκεῖ
with-difficulty deliberating both and discovering of-praise seems
ἄξιος εἶναι, ἀλλ' ὁ ῥᾷστά τε καὶ τάχιστα τοῦτο δρῶν.
worthy to-be but the-one most-easily both and most-quickly this doing
ἔστιν ταῦτα, ἔφη.
it-is these-things he-said
οὐκοῦν πάντα, ἦν δ' ἐγώ, ὦ Χαρμίδη, ἡμῖν καὶ τὰ περὶ
therefore all-things said — I O Charmides to-us both the about
τὴν ψυχὴν καὶ τὰ περὶ τὸ σῶμα, τὰ τοῦ τάχους τε καὶ
the soul and the about the body the of-the speed both and
τῆς ὀξύτητος καλλίω φαίνεται ἢ τὰ τῆς βραδυτῆτός
of-the sharpness finer appear than the of-the slowness
τε καὶ ἡσυχιότητος;
both and quietness

κινδυνεύει, ἔφη.
it-is-likely he-said

c οὐκ ἄρα ἡσυχιότης τις ἡ σωφροσύνη ἂν εἴη, οὐδ' ἡσύχιος
not then quietness some the temperance — would-be nor quiet
ὁ σώφρων βίος, ἔκ γε τούτου τοῦ λόγου, ἐπειδὴ καλὸν
the temperate life from at-least this the reasoning since fine
αὐτὸν δεῖ εἶναι σώφρονα ὄντα. δυοῖν γὰρ δὴ τὰ
it it-is-needful to-be temperate being of-two for indeed the
ἕτερα· ἢ οὐδαμοῦ ἡμῖν ἢ πάνυ που ὀλιγαχοῦ αἱ ἡσύχιοι
one-or-other either nowhere for-us or very surely in-few-places the quiet
πράξεις ἐν τῷ βίῳ καλλίους ἐφάνησαν ἢ αἱ ταχεῖαί τε καὶ
actions in the life finer appeared than the quick both and
ἰσχυραί. εἰ δ' οὖν, ὦ φίλε, ὅτι μάλιστα μηδὲν ἐλάττους αἱ
strong if but anyway O friend as most no fewer the
ἡσύχιοι τῶν σφοδρῶν τε καὶ ταχειῶν πράξεων τυγχάνουσιν
quiet than-the vehement both and quick actions happen
καλλίους οὖσαι, οὐδὲ ταύτῃ σωφροσύνη ἂν εἴη μᾶλλόν
finer being nor in-this-way temperance — would-be rather
τι τὸ ἡσυχῇ πράττειν ἢ τὸ σφόδρα τε καὶ ταχέως, οὔτε ἐν
at-all the quietly to-act than the vehemently both and quickly either in
βαδισμῷ οὔτε ἐν λέξει οὔτε ἄλλοθι οὐδαμοῦ, οὐδὲ ὁ ἡσύχιος
walking or in speech or elsewhere anywhere nor the quiet
βίος τοῦ μὴ ἡσυχίου σωφρονέστερος ἂν εἴη, ἐπειδὴ ἐν
life than-the not quiet more-temperate — would-be since in
τῷ λόγῳ τῶν καλῶν τι ἡμῖν ἡ σωφροσύνη ὑπετέθη,
the reasoning of-the fine-things something for-us the temperance was-assumed
καλὰ δὲ οὐχ ἧττον τὰ ταχέα τῶν ἡσυχίων πέφανται.
fine-things and not less the quick than-the quiet have-appeared
ὀρθῶς μοι δοκεῖς, ἔφη, ὦ Σώκρατες, εἰρηκέναι.
rightly to-me you-seem he-said O Socrates to-have-spoken

πάλιν τοίνυν, ἦν δ' ἐγώ, ὦ Χαρμίδη, μᾶλλον προσέχων e
again then said — I O Charmides more applying
τὸν νοῦν καὶ εἰς σεαυτὸν ἐμβλέψας, ἐννοήσας ὁποῖόν
the mind and into yourself having-looked having-considered of-what-sort
τινά σε ποιεῖ ἡ σωφροσύνη παροῦσα καὶ ποία τις οὖσα
some you makes the temperance being-present and what-sort some being
τοιοῦτον ἀπεργάζοιτο ἄν, πάντα ταῦτα συλλογισάμενος
such it-would-produce — all these-things having-reckoned-up
εἰπὲ εὖ καὶ ἀνδρείως τί σοι φαίνεται εἶναι;
say well and bravely what to-you it-appears to-be
καὶ ὃς ἐπισχὼν καὶ πάνυ ἀνδρικῶς πρὸς ἑαυτὸν
and he having-paused and very manfully toward himself
διασκεψάμενος, δοκεῖ τοίνυν μοι, ἔφη, αἰσχύνεσθαι ποιεῖν
having-examined it-seems then to-me he-said to-be-ashamed to-make
ἡ σωφροσύνη καὶ αἰσχυντηλὸν τὸν ἄνθρωπον, καὶ εἶναι
the temperance and bashful the human and to-be
ὅπερ αἰδὼς ἡ σωφροσύνη.
which-very modesty the temperance
εἶεν, ἦν δ' ἐγώ, οὐ καλὸν ἄρτι ὡμολόγεις τὴν
well said — I not fine just-now were-you-agreeing the
σωφροσύνην εἶναι;
temperance to-be
πάνυ γ', ἔφη.
certainly at-least he-said
οὐκοῦν καὶ ἀγαθοὶ ἄνδρες οἱ σώφρονες;
therefore also good men the temperate
ναί.
yes
ἆρ' οὖν ἂν εἴη ἀγαθὸν ὃ μὴ ἀγαθοὺς ἀπεργάζεται;
so then — would-be good what not good produces
οὐ δῆτα.
not indeed

οὐ μόνον οὖν ἄρα καλόν, ἀλλὰ καὶ ἀγαθόν ἐστιν.
not only then after-all fine but also good it-is
161 ἔμοιγε δοκεῖ.
to-me-at-least it-seems
τί οὖν; ἦν δ' ἐγώ· Ὁμήρῳ οὐ πιστεύεις καλῶς λέγειν,
what then said — I Homer not do-you-believe finely to-speak
λέγοντι ὅτι
saying that

αἰδὼς δ' οὐκ ἀγαθὴ κεχρημένῳ ἀνδρὶ παρεῖναι;
modesty and not good for-a-needy man to-be-present

ἔγωγ', ἔφη.
I-do he-said
ἔστιν ἄρα, ὡς ἔοικεν, αἰδὼς οὐκ ἀγαθὸν καὶ ἀγαθόν.
it-is then as it-seems modesty not good and good
φαίνεται.
it-appears
σωφροσύνη δέ γε ἀγαθόν, εἴπερ ἀγαθοὺς ποιεῖ οἷς
temperance but at-least good if-indeed good makes those-to-whom
ἂν παρῇ, κακοὺς δὲ μή.
— it-is-present bad and not
ἀλλὰ μὴν οὕτω γε δοκεῖ μοι ἔχειν, ὡς σὺ λέγεις.
but indeed so at-least it-seems to-me to-be as you say
b οὐκ ἄρα σωφροσύνη ἂν εἴη αἰδώς, εἴπερ τὸ μὲν
not then temperance — would-be modesty if-indeed the indeed
ἀγαθὸν τυγχάνει ὄν, αἰδὼς δὲ οὐδὲν μᾶλλον ἀγαθὸν ἢ
good it-happens being modesty but no more good than
καὶ κακόν.
also bad

ἀλλ᾽ ἔμοιγε δοκεῖ, ἔφη, ὦ Σώκρατες, τοῦτο μὲν
but to-me-at-least it-seems he-said O Socrates this indeed
ὀρθῶς λέγεσθαι· τόδε δὲ σκέψαι τί σοι δοκεῖ εἶναι
rightly to-be-said this but consider what to-you it-seems to-be
περὶ σωφροσύνης. ἄρτι γὰρ ἀνεμνήσθην — ὃ ἤδη
about temperance just-now for I-recalled what already
του ἤκουσα λέγοντος — ὅτι σωφροσύνη ἂν εἴη
from-someone I-heard saying that temperance — would-be
τὸ τὰ ἑαυτοῦ πράττειν. σκόπει οὖν τοῦτο εἰ ὀρθῶς
the the his-own to-do consider then this whether rightly
σοι δοκεῖ λέγειν ὁ λέγων.
to-you he-seems to-speak the speaker
καὶ ἐγώ, ὦ μιαρέ, ἔφην, Κριτίου τοῦδε ἀκήκοας αὐτὸ ἢ c
and I O rascal I-said from-Critias here you-have-heard it or
ἄλλου του τῶν σοφῶν.
from-another someone of-the wise
ἔοικεν, ἔφη ὁ Κριτίας, ἄλλου· οὐ γὰρ δὴ ἐμοῦ γε.
it-seems said — Critias from-another not for indeed from-me at-least
ἀλλὰ τί διαφέρει, ἦ δ᾽ ὅς, ὁ Χαρμίδης, ὦ Σώκρατες,
but what does-it-matter said — he — Charmides O Socrates
ὅτου ἤκουσα;
from-whom I-heard
οὐδέν, ἦν δ᾽ ἐγώ· πάντως γὰρ οὐ τοῦτο σκεπτέον,
nothing said — I in-every-way for not this must-be-considered
ὅστις αὐτὸ εἶπεν, ἀλλὰ πότερον ἀληθὲς λέγεται ἢ οὔ.
who it said but whether true it-is-said or not
νῦν ὀρθῶς λέγεις, ἦ δ᾽ ὅς.
now rightly you-speak said — he
νὴ Δία, ἦν δ᾽ ἐγώ. ἀλλ᾽ εἰ καὶ εὑρήσομεν αὐτὸ ὅπῃ γε
by Zeus said — I but if also we-will-find it how at-least
ἔχει, θαυμάζοιμ᾽ ἄν· αἰνίγματι γάρ τινι ἔοικεν.
it-is I-would-wonder — a-riddle for some it-resembles

ὅτι δὴ τί γε; ἔφη.
in-what-way indeed what at-least he-said

d ὅτι οὐ δήπου, ἦν δ' ἐγώ, ᾗ τὰ ῥήματα
because not surely said — I in-the-way-in-which the words
ἐφθέγξατο ταύτῃ καὶ ἐνόει, λέγων σωφροσύνην εἶναι
he-uttered in-this-way also he-meant saying temperance to-be
τὸ τὰ αὑτοῦ πράττειν. ἢ σὺ οὐδὲν ἡγῇ πράττειν τὸν
the the his-own to-do or you nothing consider to-do the
γραμματιστὴν ὅταν γράφῃ ἢ ἀναγιγνώσκῃ;
writing-master when he-writes or reads
ἔγωγε, ἡγοῦμαι μὲν οὖν, ἔφη.
I-at-least consider indeed then he-said
δοκεῖ οὖν σοι τὸ αὑτοῦ ὄνομα μόνον γράφειν ὁ
does-it-seem then to-you the his-own name only to-write the
γραμματιστὴς καὶ ἀναγιγνώσκειν ἢ ὑμᾶς τοὺς παῖδας
writing-master and to-read or you the boys
διδάσκειν, ἢ οὐδὲν ἧττον τὰ τῶν ἐχθρῶν ἐγράφετε ἢ
to-teach or no less the of-the enemies you-wrote than
τὰ ὑμέτερα καὶ τὰ τῶν φίλων ὀνόματα;
the yours and the of-the friends names
οὐδὲν ἧττον.
no less
e ἦ οὖν ἐπολυπραγμονεῖτε καὶ οὐκ ἐσωφρονεῖτε τοῦτο
truly then were-you-meddling and not being-temperate this
δρῶντες;
doing
οὐδαμῶς.
in-no-way
καὶ μὴν οὐ τὰ ὑμέτερά γε αὐτῶν ἐπράττετε, εἴπερ τὸ
and indeed not the yours at-least own you-were-doing if-indeed the
γράφειν πράττειν τί ἐστιν καὶ τὸ ἀναγιγνώσκειν.
to-write to-do something is and the to-read

ἀλλὰ μὴν ἔστιν.
but indeed it-is
καὶ γὰρ τὸ ἰᾶσθαι, ὦ ἑταῖρε, καὶ τὸ οἰκοδομεῖν καὶ
and for the to-heal O comrade and the to-build and
τὸ ὑφαίνειν καὶ τὸ ᾑτινιοῦν τέχνῃ ὁτιοῦν τῶν τέχνης
the to-weave and the by-any-whatever art whatever of-the of-art
ἔργων ἀπεργάζεσθαι πράττειν δήπου τί ἐστιν.
works to-produce to-do surely something is
πάνυ γε.
certainly at-least

V · CRITIAS TAKES OVER

A city whose law bade each man weave and cobble for himself would be badly run, yet a temperate city is well run, so the definition was a riddle. Charmides, laughing and glancing at Critias, suggests its author did not know what he meant, and Critias, angry like a poet at a bad actor, takes it up. Craftsmen make for others, but Critias, citing Hesiod's 'no work is a reproach,' calls only things made well and usefully work and one's own. Socrates, who has heard Prodicus distinguish names, lets him use words as he likes, and Critias defines temperance as the doing of good things.

τί οὖν; ἦν δ' ἐγώ, δοκεῖ ἄν σοι πόλις εὖ οἰκεῖσθαι 162
what then said — I would-it-seem — to-you a-city well to-be-governed
ὑπὸ τούτου τοῦ νόμου τοῦ κελεύοντος τὸ ἑαυτοῦ ἱμάτιον
by this the law the bidding the his-own cloak
ἕκαστον ὑφαίνειν καὶ πλύνειν, καὶ ὑποδήματα σκυτοτομεῖν,
each to-weave and to-wash and shoes to-cobble
καὶ λήκυθον καὶ στλεγγίδα καὶ τἆλλα πάντα κατὰ
and oil-flask and strigil and the-other-things all according-to

τὸν αὐτὸν λόγον, τῶν μὲν ἀλλοτρίων μὴ ἅπτεσθαι, τὰ
the same reasoning the indeed of-others not to-touch the
δὲ ἑαυτοῦ ἕκαστον ἐργάζεσθαί τε καὶ πράττειν;
but his-own each to-work both and to-do
οὐκ ἔμοιγε δοκεῖ, ἦ δ' ὅς.
not to-me-at-least it-seems said — he
ἀλλὰ μέντοι, ἔφην ἐγώ, σωφρόνως γε οἰκοῦσα εὖ ἂν
but however I-said I temperately at-least being-governed well —
οἰκοῖτο.
it-would-be-governed
πῶς δ' οὔκ; ἔφη.
how and not he-said
οὐκ ἄρα, ἦν δ' ἐγώ, τὸ τὰ τοιαῦτά τε καὶ οὕτω τὰ
not then said — I the the such-things both and so the
αὑτοῦ πράττειν σωφροσύνη ἂν εἴη.
his-own to-do temperance — would-be
οὐ φαίνεται.
not it-appears
b ἠνίττετο ἄρα, ὡς ἔοικεν, ὅπερ ἄρτι ἐγὼ ἔλεγον,
he-was-speaking-in-riddles then as it-seems which-very just-now I said
ὁ λέγων τὸ τὰ αὑτοῦ πράττειν σωφροσύνην εἶναι·
the-one saying the the his-own to-do temperance to-be
οὐ γάρ που οὕτω γε ἦν εὐήθης. ἤ τινος ἠλιθίου
not for surely so at-least he-was simple or from-some fool
ἤκουσας τουτὶ λέγοντος, ὦ Χαρμίδη;
did-you-hear this saying O Charmides
ἥκιστά γε, ἔφη, ἐπεί τοι καὶ πάνυ ἐδόκει σοφὸς εἶναι.
least at-least he-said since surely also very he-seemed wise to-be

παντὸς τοίνυν μᾶλλον, ὡς ἐμοὶ δοκεῖ, αἴνιγμα αὐτὸ
than-anything then rather as to-me it-seems a-riddle it
προύβαλεν, ὡς ὂν χαλεπὸν τὸ τὰ αὑτοῦ πράττειν γνῶναι
he-put-forward as being hard the the his-own to-do to-know
ὅτι ποτε ἔστιν.
what ever it-is
ἴσως, ἔφη.
perhaps he-said
τί οὖν ἂν εἴη ποτὲ τὸ τὰ αὑτοῦ πράττειν; ἔχεις
what then — would-be ever the the his-own to-do can-you
εἰπεῖν;
to-say
οὐκ οἶδα μὰ Δία ἔγωγε, ἦ δ' ὅς· ἀλλ' ἴσως οὐδὲν κωλύει
not I-know by Zeus I-at-least said — he but perhaps nothing binders
μηδὲ τὸν λέγοντα μηδὲν εἰδέναι ὅτι ἐνόει. καὶ ἅμα ταῦτα
not-even the speaker anything to-know what he-meant and at-once these-things
λέγων ὑπεγέλα τε καὶ εἰς τὸν Κριτίαν ἀπέβλεπεν.
saying he-laughed-quietly both and at — Critias looked
καὶ ὁ Κριτίας δῆλος μὲν ἦν καὶ πάλαι ἀγωνιῶν καὶ c
and — Critias clear indeed was also long-ago being-in-agony and
φιλοτίμως πρός τε τὸν Χαρμίδην καὶ πρὸς τοὺς παρόντας
ambitiously toward both — Charmides and toward the present
ἔχων, μόγις δ' ἑαυτὸν ἐν τῷ πρόσθεν κατέχων
being with-difficulty and himself in the before restraining
τότε οὐχ οἷός τε ἐγένετο· δοκεῖ γάρ μοι παντὸς
then not able — he-became it-seems for to-me than-anything
μᾶλλον ἀληθὲς εἶναι, ὃ ἐγὼ ὑπέλαβον, τοῦ Κριτίου
rather true to-be what I supposed — from-Critias
ἀκηκοέναι τὸν Χαρμίδην ταύτην τὴν ἀπόκρισιν περὶ τῆς
to-have-heard — Charmides this the answer about the
σωφροσύνης. ὁ μὲν οὖν Χαρμίδης βουλόμενος μὴ αὐτὸς
temperance — indeed then Charmides wishing not himself

ὑπέχειν λόγον ἀλλ᾽ ἐκεῖνον τῆς ἀποκρίσεως, ὑπεκίνει
to-undergo account but that-one of-the answer was-stirring-up
αὐτὸν ἐκεῖνον, καὶ ἐνεδείκνυτο ὡς ἐξεληλεγμένος εἴη· ὁ δ᾽
him that-one and was-showing that refuted he-was be but
οὐκ ἠνέσχετο, ἀλλά μοι ἔδοξεν ὀργισθῆναι αὐτῷ ὥσπερ
not endured-it but to-me seemed to-be-angered with-him as
ποιητὴς ὑποκριτῇ κακῶς διατιθέντι τὰ ἑαυτοῦ ποιήματα.
a-poet with-an-actor badly handling the his-own poems
ὥστ᾽ ἐμβλέψας αὐτῷ εἶπεν, οὕτως οἴει, ὦ Χαρμίδη,
so-that having-looked at-him he-said so do-you-think O Charmides
εἰ σὺ μὴ οἶσθα ὅτι ποτ᾽ ἐνόει ὃς ἔφη σωφροσύνην εἶναι
if you not know what ever he-meant who said temperance to-be
τὸ τὰ ἑαυτοῦ πράττειν, οὐδὲ δὴ ἐκεῖνον εἰδέναι;
the the his-own to-do not-even indeed that-one to-know
e ἀλλ᾽, ὦ βέλτιστε, ἔφην ἐγώ, Κριτία, τοῦτον μὲν οὐδὲν
but O best I-said I Critias this-one indeed nothing
θαυμαστὸν ἀγνοεῖν τηλικοῦτον ὄντα· σὲ δέ που εἰκὸς
wonderful to-be-ignorant so-young being you and surely likely
εἰδέναι καὶ ἡλικίας ἕνεκα καὶ ἐπιμελείας. εἰ οὖν
to-know both of-age for-the-sake and of-study if then
συγχωρεῖς τοῦτ᾽ εἶναι σωφροσύνην ὅπερ οὑτοσὶ λέγει
you-agree this to-be temperance which-very this-one says
καὶ παραδέχῃ τὸν λόγον, ἔγωγε πολὺ ἂν ἥδιον μετὰ
and accept the argument I-at-least much — more-gladly with
σοῦ σκοποίμην εἴτ᾽ ἀληθὲς εἴτε μὴ τὸ λεχθέν.
you would-consider whether true or not the thing-said
ἀλλὰ πάνυ συγχωρῶ, ἔφη, καὶ παραδέχομαι.
but very-much I-agree he-said and accept

καλῶς γε σὺ τοίνυν, ἦν δ' ἐγώ, ποιῶν. καί μοι
finely at-least you then said — I doing and to-me
λέγε, ἦ καὶ ἃ νυνδὴ ἠρώτων ἐγὼ συγχωρεῖς, τοὺς
say truly also what just-now asked I do-you-agree the
δημιουργοὺς πάντας ποιεῖν τι;
craftsmen all to-make something
ἔγωγε.
I-at-least
ἦ οὖν δοκοῦσί σοι τὰ ἑαυτῶν μόνον ποιεῖν ἢ καὶ τὰ 163
truly then do-they-seem to-you the their-own only to-make or also the
τῶν ἄλλων;
of-the others
καὶ τὰ τῶν ἄλλων.
also the of-the others
σωφρονοῦσιν οὖν οὐ τὰ ἑαυτῶν μόνον ποιοῦντες;
are-they-temperate then not the their-own only making
τί γὰρ κωλύει; ἔφη.
what for hinders he-said
οὐδὲν ἐμέ γε, ἦν δ' ἐγώ· ἀλλ' ὅρα μὴ ἐκεῖνον κωλύει,
nothing me at-least said — I but see lest that-one it-hinders
ὃς ὑποθέμενος σωφροσύνην εἶναι τὸ τὰ ἑαυτοῦ πράττειν
who having-supposed temperance to-be the the his-own to-do
ἔπειτα οὐδέν φησι κωλύειν καὶ τοὺς τὰ τῶν ἄλλων
then nothing says to-hinder also those the of-the others
πράττοντας σωφρονεῖν.
doing to-be-temperate
ἐγὼ γάρ που, ἦ δ' ὅς, τοῦθ' ὡμολόγηκα, ὡς οἱ τὰ
I for surely said — he this I-have-agreed that those the
τῶν ἄλλων πράττοντες σωφρονοῦσιν, εἰ τοὺς ποιοῦντας
of-the others doing are-temperate if those making
ὡμολόγησα.
I-agreed

b εἰπέ μοι, ἦν δ' ἐγώ, οὐ ταὐτὸν καλεῖς τὸ ποιεῖν καὶ τὸ
tell me said — I not the-same do-you-call the to-make and the
πράττειν;
to-do

c οὐ μέντοι, ἔφη· οὐδέ γε τὸ ἐργάζεσθαι καὶ τὸ ποιεῖν.
not indeed he-said nor at-least the to-work and the to-make
ἔμαθον γὰρ παρ' Ἡσιόδου, ὃς ἔφη ἔργον οὐδὲν εἶναι
I-learned for from Hesiod who said work no to-be
ὄνειδος. οἴει οὖν αὐτόν, εἰ τὰ τοιαῦτα ἔργα ἐκάλει καὶ
reproach do-you-think then him if the such works he-called both
ἐργάζεσθαι καὶ πράττειν, οἷα νυνδὴ σὺ ἔλεγες, οὐδενὶ
to-work and to-do such-as just-now you said for-no-one
ἂν ὄνειδος φάναι εἶναι σκυτοτομοῦντι ἢ ταριχοπωλοῦντι
— reproach to-say to-be cutting-shoes or selling-salt-fish
ἢ ἐπ' οἰκήματος καθημένῳ; οὐκ οἴεσθαί γε χρή,
or in a-brothel sitting not to-think at-least it-is-needful
ὦ Σώκρατες, ἀλλὰ καὶ ἐκεῖνος οἶμαι ποίησιν πράξεως
O Socrates but also that-one I-think making from-doing
καὶ ἐργασίας ἄλλο ἐνόμιζεν, καὶ ποίημα μὲν γίγνεσθαι
and working other considered and a-thing-made indeed to-become
ὄνειδος ἐνίοτε, ὅταν μὴ μετὰ τοῦ καλοῦ γίγνηται, ἔργον δὲ
reproach sometimes when not with the fine it-comes-about work but
οὐδέποτε οὐδὲν ὄνειδος· τὰ γὰρ καλῶς τε καὶ ὠφελίμως
never any reproach the for finely both and beneficially
ποιούμενα ἔργα ἐκάλει, καὶ ἐργασίας τε καὶ πράξεις τὰς
made-things works he-called and workings both and doings the
τοιαύτας ποιήσεις. φάναι δέ γε χρὴ καὶ οἰκεῖα μόνα
such makings to-say and at-least it-is-needful also own only
τὰ τοιαῦτα ἡγεῖσθαι αὐτόν, τὰ δὲ βλαβερὰ πάντα ἀλλότρια·
the such-things to-consider him the but harmful all others'

ὥστε καὶ Ἡσίοδον χρὴ οἴεσθαι καὶ ἄλλον ὅστις
so-that also Hesiod it-is-needful to-think and other whoever
φρόνιμος τὸν τὰ αὑτοῦ πράττοντα τοῦτον σώφρονα καλεῖν.
prudent the-one the his-own doing this-one temperate to-call
ὦ Κριτία, ἦν δ' ἐγώ, καὶ εὐθὺς ἀρχομένου σου σχεδὸν d
O Critias said — I and straightway beginning you nearly
ἐμάνθανον τὸν λόγον, ὅτι τὰ οἰκεῖά τε καὶ τὰ αὑτοῦ ἀγαθὰ
I-understood the argument that the own both and the his-own goods
καλοίης, καὶ τὰς τῶν ἀγαθῶν ποιήσεις πράξεις· καὶ γὰρ
you-would-call and the of-the goods makings doings and for
Προδίκου μυρία τινὰ ἀκήκοα περὶ ὀνομάτων διαιροῦντος.
of-Prodicus countless some-things I-have-heard about names distinguishing
ἀλλ' ἐγώ σοι τίθεσθαι μὲν τῶν ὀνομάτων δίδωμι ὅπῃ ἂν
but I to-you to-set indeed the names grant however —
βούλῃ ἕκαστον· δήλου δὲ μόνον ἐφ' ὅτι ἂν φέρῃς τοὔνομα
you-wish each make-clear but only to whatever — you-apply the-name
ὅτι ἂν λέγῃς. νῦν οὖν πάλιν ἐξ ἀρχῆς σαφέστερον
whatever — you-mean now then again from beginning more-clearly
ὅρισαι· ἆρα τὴν τῶν ἀγαθῶν πρᾶξιν ἢ ποίησιν ἢ ὅπως
define then the of-the goods doing or making or however
σὺ βούλει ὀνομάζειν, ταύτην λέγεις σὺ σωφροσύνην εἶναι;
you wish to-name this do-you-say you temperance to-be
ἔγωγε, ἔφη.
I-at-least he-said
οὐκ ἄρα σωφρονεῖ ὁ τὰ κακὰ πράττων, ἀλλ' ὁ
not then is-temperate the-one the evil-things doing but the-one
τἀγαθά;
the-good-things
σοὶ δέ, ἦ δ' ὅς, ὦ βέλτιστε, οὐχ οὕτω δοκεῖ;
to-you and said — he O best not so does-it-seem

ἔα, ἦν δ' ἐγώ· μὴ γάρ πω τὸ ἐμοὶ δοκοῦν σκοπῶμεν,
let-be said — I not for yet the to-me seeming let-us-consider
ἀλλ' ὃ σὺ λέγεις νῦν.
but what you say now
ἀλλὰ μέντοι ἔγωγε, ἔφη, τὸν μὴ ἀγαθὰ ἀλλὰ κακὰ
but however I-at-least he-said the-one not goods but evils
ποιοῦντα οὔ φημι σωφρονεῖν, τὸν δὲ ἀγαθὰ ἀλλὰ μὴ
making not I-say to-be-temperate the-one but goods but not
κακὰ σωφρονεῖν· τὴν γὰρ τῶν ἀγαθῶν πρᾶξιν σωφροσύνην
evils to-be-temperate the for of-the goods doing temperance
εἶναι σαφῶς σοι διορίζομαι.
to-be clearly to-you I-define

VI · KNOW THYSELF

A doctor who heals usefully acts temperately, yet may not know he has helped, so is temperate unknowingly. Critias would rather retract and now says temperance is knowing oneself: the Delphic inscription is the god's greeting, 'Be temperate,' which later dedicators mistook for advice. Asked what it produces, Critias says it is unlike the others, as calculation produces no work; Socrates replies that each still has an object distinct from itself. Accused of mere refuting, Socrates says he tests himself too. Critias says temperance alone is knowledge of itself and of the other knowledges, and of their lack.

164 καὶ οὐδέν γέ σε ἴσως κωλύει ἀληθῆ λέγειν· τόδε γε
and nothing at-least you perhaps hinders true-things to-say this at-least
μέντοι, ἦν δ' ἐγώ, θαυμάζω, εἰ σωφρονοῦντας ἀνθρώπους
however said — I I-wonder if being-temperate humans
ἡγῇ σὺ ἀγνοεῖν ὅτι σωφρονοῦσιν.
consider you to-be-ignorant that they-are-temperate
ἀλλ' οὐχ ἡγοῦμαι, ἔφη.
but not I-consider-so he-said

οὐκ ὀλίγον πρότερον, ἔφην ἐγώ, ἐλέγετο ὑπὸ σοῦ ὅτι
not little before I-said I it-was-said by you that
τοὺς δημιουργοὺς οὐδὲν κωλύει καὶ αὖ τὰ τῶν ἄλλων
the craftsmen nothing hinders also again the of-the others
ποιοῦντας σωφρονεῖν;
making to-be-temperate
ἐλέγετο γάρ, ἔφη· ἀλλὰ τί τοῦτο;
it-was-said for he-said but what this
οὐδέν· ἀλλὰ λέγε εἰ δοκεῖ τίς σοι ἰατρός, ὑγιᾶ τινα b
nothing but say whether seems some to-you doctor healthy someone
ποιῶν, ὠφέλιμα καὶ ἑαυτῷ ποιεῖν καὶ ἐκείνῳ ὃν ἰᾶτο;
making beneficial-things both for-himself to-make and for-that-one whom he-heals
ἔμοιγε.
to-me-at-least
οὐκοῦν τὰ δέοντα πράττει ὅ γε ταῦτα πράττων;
therefore the needful-things does the-one at-least these-things doing
ναί.
yes
ὁ τὰ δέοντα πράττων οὐ σωφρονεῖ;
the-one the needful-things doing not is-temperate
σωφρονεῖ μὲν οὖν.
is-temperate indeed then
ἦ οὖν καὶ γιγνώσκειν ἀνάγκη τῷ ἰατρῷ ὅταν τε ὠφελίμως
truly then also to-know necessity for-the doctor when both beneficially
ἰᾶται καὶ ὅταν μή; καὶ ἑκάστῳ τῶν δημιουργῶν ὅταν τε
he-heals and when not and for-each of-the craftsmen when both
μέλλῃ ὀνήσεσθαι ἀπὸ τοῦ ἔργου οὗ ἂν πράττῃ καὶ ὅταν μή;
he-is-to to-profit from the work which — he-does and when not
ἴσως οὔ.
perhaps not

c ἐνίοτε ἄρα, ἦν δ' ἐγώ, ὠφελίμως πράξας ἢ βλαβερῶς ὁ
sometimes then said — I beneficially having-done or harmfully the
ἰατρὸς οὐ γιγνώσκει ἑαυτὸν ὡς ἔπραξεν· καίτοι ὠφελίμως
doctor not knows himself how he-did and-yet beneficially
πράξας, ὡς ὁ σὸς λόγος, σωφρόνως ἔπραξεν. ἢ οὐχ
having-done as the your argument temperately he-did or not
οὕτως ἔλεγες;
so did-you-say
ἔγωγε.
I-at-least
οὐκοῦν, ὡς ἔοικεν, ἐνίοτε ὠφελίμως πράξας πράττει μὲν
therefore as it-seems sometimes beneficially having-done he-does indeed
σωφρόνως καὶ σωφρονεῖ, ἀγνοεῖ δ' ἑαυτὸν ὅτι σωφρονεῖ;
temperately and is-temperate is-ignorant but himself that he-is-temperate
d ἀλλὰ τοῦτο μέν, ἔφη, ὦ Σώκρατες, οὐκ ἄν ποτε γένοιτο,
but this indeed he-said O Socrates not — ever could-happen
ἀλλ' εἴ τι σὺ οἴει ἐκ τῶν ἔμπροσθεν ὑπ' ἐμοῦ
but if anything you think from the before by me
ὡμολογημένων εἰς τοῦτο ἀναγκαῖον εἶναι συμβαίνειν,
having-been-agreed to this necessary to-be to-follow
ἐκείνων ἄν τι ἔγωγε μᾶλλον ἀναθείμην, καὶ οὐκ ἂν
of-those — something I-at-least rather would-retract and not —
αἰσχυνθείην μὴ οὐχὶ ὀρθῶς φάναι εἰρηκέναι, μᾶλλον ἤ
I-would-be-ashamed not not rightly to-say to-have-spoken rather than
ποτε συγχωρήσαιμ' ἂν ἀγνοοῦντα αὐτὸν ἑαυτὸν ἄνθρωπον
ever I-would-grant — not-knowing himself oneself a-human
σωφρονεῖν. σχεδὸν γάρ τι ἔγωγε αὐτὸ τοῦτό φημι εἶναι
to-be-temperate nearly for somewhat I-at-least it this say to-be
σωφροσύνην, τὸ γιγνώσκειν ἑαυτόν, καὶ συμφέρομαι τῷ
temperance the to-know oneself and I-agree with-the-one
ἐν Δελφοῖς ἀναθέντι τὸ τοιοῦτον γράμμα. καὶ γὰρ τοῦτο
at Delphi having-set-up the such inscription and for this

οὕτω μοι δοκεῖ τὸ γράμμα ἀνακεῖσθαι, ὡς δὴ πρόσρησις
so to-me seems the inscription to-be-set-up as indeed greeting
οὖσα τοῦ θεοῦ τῶν εἰσιόντων ἀντὶ τοῦ χαῖρε, ὡς τούτου
being of-the god of-those entering instead-of the rejoice as this
μὲν οὐκ ὀρθοῦ ὄντος τοῦ προσρήματος, τοῦ χαίρειν, οὐδὲ
indeed not right being the greeting the to-rejoice nor
δεῖν τοῦτο παρακελεύεσθαι ἀλλήλοις ἀλλὰ σωφρονεῖν.
to-be-needful this to-urge on-one-another but to-be-temperate
οὕτω μὲν δὴ ὁ θεὸς προσαγορεύει τοὺς εἰσιόντας εἰς τὸ
so indeed indeed the god addresses those entering into the
ἱερὸν διαφέρον τι ἢ οἱ ἄνθρωποι, ὡς διανοούμενος
temple differing somewhat from the humans as meaning
ἀνέθηκεν ὁ ἀναθείς, ὥς μοι δοκεῖ· καὶ λέγει πρὸς τὸν
set-up the setter-up as to-me it-seems and he-says to the-one
ἀεὶ εἰσιόντα οὐκ ἄλλο τι ἢ Σωφρόνει, φησίν.
ever entering not other anything than Be-temperate he-says
αἰνιγματωδέστερον δὲ δή, ὡς μάντις, λέγει· τὸ γὰρ 165
more-riddlingly and indeed as a-seer he-says the for
Γνῶθι σαυτόν καὶ τὸ Σωφρόνει ἔστιν μὲν ταὐτόν, ὡς
Know yourself and the Be-temperate is indeed the-same as
τὰ γράμματά φησιν καὶ ἐγώ, τάχα δ' ἄν τις οἰηθείη
the letters say and I perhaps but — someone might-think
ἄλλο εἶναι, ὃ δή μοι δοκοῦσιν παθεῖν καὶ οἱ
other to-be which indeed to-me seem to-have-suffered also those
τὰ ὕστερον γράμματα ἀναθέντες, τό τε Μηδὲν ἄγαν
the later inscriptions having-set-up the both Nothing too-much
καὶ τὸ Ἐγγύη πάρα δ' ἄτη. καὶ γὰρ οὗτοι συμβουλὴν
and the A-pledge near and ruin and for these counsel
ᾠήθησαν εἶναι τὸ Γνῶθι σαυτόν, ἀλλ' οὐ τῶν εἰσιόντων
thought to-be the Know yourself but not of-those entering
ὑπὸ τοῦ θεοῦ πρόσρησιν· εἶθ' ἵνα δὴ καὶ σφεῖς μηδὲν

ἧττον συμβουλὰς χρησίμους ἀναθεῖεν, ταῦτα γράψαντες
less counsels useful might-set-up these-things having-written
ἀνέθεσαν. οὗ δὴ οὖν ἕνεκα λέγω, ὦ Σώκρατες,
set-up of-which indeed then for-the-sake I-say O Socrates
ταῦτα πάντα, τόδ' ἐστίν· τὰ μὲν ἔμπροσθέν σοι πάντα
these-things all this is the indeed before to-you all
ἀφίημι — ἴσως μὲν γάρ τι σὺ ἔλεγες περὶ αὐτῶν
I-concede perhaps indeed for something you said about them
ὀρθότερον, ἴσως δ' ἐγώ, σαφὲς δ' οὐδὲν πάνυ ἦν ὧν
more-rightly perhaps but I clear but nothing very was of-what
ἐλέγομεν — νῦν δ' ἐθέλω τούτου σοι διδόναι λόγον, εἰ μὴ
we-were-saying now and I-wish of-this to-you to-give account if not
ὁμολογεῖς σωφροσύνην εἶναι τὸ γιγνώσκειν αὐτὸν ἑαυτόν.
you-agree temperance to-be the to-know himself oneself
c ἀλλ', ἦν δ' ἐγώ, ὦ Κριτία, σὺ μὲν ὡς φάσκοντος ἐμοῦ
but said — I O Critias you indeed as claiming me
εἰδέναι περὶ ὧν ἐρωτῶ προσφέρῃ πρός με, καὶ ἐὰν δὴ
to-know about what I-ask behave toward me and if indeed
βούλωμαι, ὁμολογήσοντός σοι· τὸ δ' οὐχ οὕτως ἔχει,
I-wish going-to-agree with-you the but not so is
ἀλλὰ ζητῶ γὰρ μετὰ σοῦ ἀεὶ τὸ προτιθέμενον διὰ
but I-seek for with you always the thing-proposed because-of
τὸ μὴ αὐτὸς εἰδέναι. σκεψάμενος οὖν ἐθέλω εἰπεῖν εἴτε
the not myself to-know having-considered then I-wish to-say whether
ὁμολογῶ εἴτε μή. ἀλλ' ἐπίσχες ἕως ἂν σκέψωμαι.
I-agree or not but wait until — I-have-considered
σκόπει δή, ἦ δ' ὅς.
consider indeed said — he

καὶ γάρ, ἦν δ' ἐγώ, σκοπῶ. εἰ γὰρ δὴ γιγνώσκειν
and for said — I I-am-considering if for indeed to-know
γέ τί ἐστιν ἡ σωφροσύνη, δῆλον ὅτι ἐπιστήμη τις
at-least something is the temperance clear that knowledge some
ἂν εἴη καὶ τινός· ἢ οὔ;
— would-be and of-something or not
ἔστιν, ἔφη, ἑαυτοῦ γε.
it-is he-said of-oneself at-least
οὐκοῦν καὶ ἰατρική, ἔφην, ἐπιστήμη ἐστὶν τοῦ ὑγιεινοῦ;
therefore also medicine I-said knowledge is of-the healthy
πάνυ γε.
certainly at-least
εἰ τοίνυν με, ἔφην, ἔροιο σύ· "ἰατρικὴ ὑγιεινοῦ ἐπιστήμη d
if then me I-said you-should-ask you medicine of-healthy knowledge
οὖσα τί ἡμῖν χρησίμη ἐστὶν καὶ τί ἀπεργάζεται,"
being what for-us useful is and what does-it-produce
εἴποιμ' ἂν ὅτι οὐ σμικρὰν ὠφελίαν· τὴν γὰρ ὑγίειαν
I-would-say — that not small benefit the for health
καλὸν ἡμῖν ἔργον ἀπεργάζεται, εἰ ἀποδέχῃ τοῦτο.
fine for-us work it-produces if you-accept this
ἀποδέχομαι.
I-accept
καὶ εἰ τοίνυν με ἔροιο τὴν οἰκοδομικήν, ἐπιστήμην οὖσαν e
and if then me you-should-ask the building knowledge being
τοῦ οἰκοδομεῖν, τί φημι ἔργον ἀπεργάζεσθαι, εἴποιμ' ἂν
of-the building what I-say work to-produce I-would-say —
ὅτι οἰκήσεις· ὡσαύτως δὲ καὶ τῶν ἄλλων τεχνῶν. χρὴ
that houses likewise and also of-the other arts it-is-needful
οὖν καὶ σὲ ὑπὲρ τῆς σωφροσύνης, ἐπειδὴ φῂς αὐτὴν
then also you on-behalf-of the temperance since you-say it
ἑαυτοῦ ἐπιστήμην εἶναι, ἔχειν εἰπεῖν ἐρωτηθέντα, "ὦ
of-oneself knowledge to-be to-be-able to-say having-been-asked O

Κριτία, σωφροσύνη, ἐπιστήμη οὖσα ἑαυτοῦ, τί καλὸν ἡμῖν
Critias temperance knowledge being of-oneself what fine for-us
ἔργον ἀπεργάζεται καὶ ἄξιον τοῦ ὀνόματος;" ἴθι οὖν, εἰπέ.
work produces and worthy of-the name come then say
ἀλλ', ὦ Σώκρατες, ἔφη, οὐκ ὀρθῶς ζητεῖς. οὐ γὰρ ὁμοία
but O Socrates he-said not rightly you-seek not for like
αὕτη πέφυκεν ταῖς ἄλλαις ἐπιστήμαις, οὐδέ γε αἱ ἄλλαι
this is-by-nature to-the other knowledges nor at-least the others
ἀλλήλαις· σὺ δ' ὡς ὁμοίων οὐσῶν ποιῇ τὴν ζήτησιν.
to-one-another you but as like being make the inquiry
166 ἐπεὶ λέγε μοι, ἔφη, τῆς λογιστικῆς τέχνης ἢ τῆς γεωμετρικῆς
since tell me he-said of-the calculating art or of-the geometrical
τί ἐστιν τοιοῦτον ἔργον οἷον οἰκία οἰκοδομικῆς ἢ ἱμάτιον
what is such work as a-house of-building or a-cloak
ὑφαντικῆς ἢ ἄλλα τοιαῦτ' ἔργα, ἃ πολλὰ ἄν τις
of-weaving or other such works which many — anyone
ἔχοι πολλῶν τεχνῶν δεῖξαι; ἔχεις οὖν μοι καὶ σὺ τούτων
could of-many arts show can-you then me also you of-these
τοιοῦτόν τι ἔργον δεῖξαι; ἀλλ' οὐχ ἕξεις.
such some work show but not you-will-be-able
καὶ ἐγὼ εἶπον ὅτι ἀληθῆ λέγεις· ἀλλὰ τόδε σοι ἔχω
and I said that true-things you-say but this to-you I-can
δεῖξαι, τίνος ἐστὶν ἐπιστήμη ἑκάστη τούτων τῶν ἐπιστημῶν,
show of-what is knowledge each of-these the knowledges
ὃ τυγχάνει ὂν ἄλλο αὐτῆς τῆς ἐπιστήμης. οἷον ἡ
which happens being other than-itself the knowledge as the
λογιστικὴ ἐστίν που τοῦ ἀρτίου καὶ τοῦ περιττοῦ, πλήθους
calculating is surely of-the even and of-the odd quantity
ὅπως ἔχει πρὸς αὑτὰ καὶ πρὸς ἄλληλα· ἦ γάρ;
how it-is toward themselves and toward one-another is-it-not for
πάνυ γε, ἔφη.
certainly at-least he-said

οὐκοῦν ἑτέρου ὄντος τοῦ περιττοῦ καὶ ἀρτίου αὐτῆς τῆς
therefore other being the odd and even than-itself the
λογιστικῆς;
calculating
πῶς δ' οὔ;
how and not
καὶ μὴν αὖ ἡ στατικὴ τοῦ βαρυτέρου τε καὶ κουφοτέρου b
and indeed again the weighing of-the heavier both and lighter
σταθμοῦ ἐστιν στατική· ἕτερον δέ ἐστιν τὸ βαρύ τε καὶ
of-weight is weighing other and is the heavy both and
κοῦφον τῆς στατικῆς αὐτῆς. συγχωρεῖς;
light than-the weighing itself do-you-agree
ἔγωγε.
I-at-least
λέγε δή, καὶ ἡ σωφροσύνη τίνος ἐστὶν ἐπιστήμη, ὃ
say indeed also the temperance of-what is knowledge which
τυγχάνει ἕτερον ὂν αὐτῆς τῆς σωφροσύνης;
happens other being than-itself the temperance
τοῦτό ἐστιν ἐκεῖνο, ἔφη, ὦ Σώκρατες· ἐπ' αὐτὸ ἥκεις c
this is that he-said O Socrates at it you-come
ἐρευνῶν τὸ ᾧ διαφέρει πασῶν τῶν ἐπιστημῶν ἡ
searching the in-which it-differs from-all the knowledges the
σωφροσύνη· σὺ δὲ ὁμοιότητά τινα ζητεῖς αὐτῆς ταῖς
temperance you and likeness some seek of-it to-the
ἄλλαις. τὸ δ' οὐκ ἔστιν οὕτως, ἀλλ' αἱ μὲν ἄλλαι πᾶσαι
others the but not is so but the indeed others all
ἄλλου εἰσὶν ἐπιστῆμαι, ἑαυτῶν δ' οὔ, ἡ δὲ μόνη τῶν
of-other are knowledges of-themselves but not the but alone of-the
τε ἄλλων ἐπιστημῶν ἐπιστήμη ἐστὶ καὶ αὐτὴ ἑαυτῆς.
both other knowledges knowledge is and itself of-itself
καὶ ταῦτά σε πολλοῦ δεῖ λεληθέναι, ἀλλὰ γὰρ οἶμαι ὃ
and these-things you much lacks to-have-escaped but for I-think what

ἄρτι οὐκ ἔφησθα ποιεῖν, τοῦτο ποιεῖς· ἐμὲ γὰρ ἐπιχειρεῖς
just-now not you-said to-do this you-do me for you-attempt
ἐλέγχειν, ἐάσας περὶ οὗ ὁ λόγος ἐστίν.
to-refute having-let-be about what the argument is
d οἷον, ἦν δ' ἐγώ, ποιεῖς ἡγούμενος, εἰ ὅτι μάλιστα σὲ
what said — I you-do considering if as most you
ἐλέγχω, ἄλλου τινὸς ἕνεκα ἐλέγχειν ἢ οὗπερ ἕνεκα
I-refute other some for-the-sake to-refute than of-which-very for-the-sake
κἂν ἐμαυτὸν διερευνῴμην τί λέγω, φοβούμενος μή ποτε
also myself I-would-search-out what I-say fearing lest ever
λάθω οἰόμενος μέν τι εἰδέναι, εἰδὼς δὲ μή. καὶ
I-escape-notice thinking indeed something to-know knowing but not and
νῦν δὴ οὖν ἔγωγέ φημι τοῦτο ποιεῖν, τὸν λόγον σκοπεῖν
now indeed then I-at-least say this to-do the argument to-consider
μάλιστα μὲν ἐμαυτοῦ ἕνεκα, ἴσως δὲ δὴ καὶ τῶν
most indeed of-myself for-the-sake perhaps and indeed also of-the
ἄλλων ἐπιτηδείων· ἢ οὐ κοινὸν οἴει ἀγαθὸν εἶναι
other close-friends or not common do-you-think good to-be
σχεδόν τι πᾶσιν ἀνθρώποις, γίγνεσθαι καταφανὲς
nearly somewhat for-all humans to-become evident
ἕκαστον τῶν ὄντων ὅπῃ ἔχει;
each of-the beings how it-is
καὶ μάλα, ἦ δ' ὅς, ἔγωγε, ὦ Σώκρατες.
and very said — he I-at-least O Socrates
e θαρρῶν τοίνυν, ἦν δ' ἐγώ, ὦ μακάριε, ἀποκρινόμενος τὸ
taking-heart then said — I O blessed-one answering the
ἐρωτώμενον ὅπῃ σοι φαίνεται, ἔα χαίρειν εἴτε Κριτίας
thing-asked as to-you it-appears let fare-well whether Critias
ἐστὶν εἴτε Σωκράτης ὁ ἐλεγχόμενος· ἀλλ' αὐτῷ προσέχων
is or Socrates the one-refuted but itself applying
τὸν νοῦν τῷ λόγῳ σκόπει ὅπῃ ποτὲ ἐκβήσεται ἐλεγχόμενος.
the mind to-the argument consider how ever it-will-turn-out being-refuted

ἀλλά, ἔφη, ποιήσω οὕτω· δοκεῖς γάρ μοι μέτρια
but he-said I-will-do so you-seem for to-me reasonable-things
λέγειν.
to-say
λέγε τοίνυν, ἦν δ' ἐγώ, περὶ τῆς σωφροσύνης πῶς λέγεις;
say then said — I about the temperance how do-you-say
λέγω τοίνυν, ἦ δ' ὅς, ὅτι μόνη τῶν ἄλλων ἐπιστημῶν
I-say then said — he that alone of-the other knowledges
αὐτή τε αὑτῆς ἐστιν καὶ τῶν ἄλλων ἐπιστημῶν ἐπιστήμη.
itself both of-itself is and of-the other knowledges knowledge
οὐκοῦν, ἦν δ' ἐγώ, καὶ ἀνεπιστημοσύνης ἐπιστήμη ἂν
therefore said — I also of-lack-of-knowledge knowledge —
εἴη, εἴπερ καὶ ἐπιστήμης;
it-would-be if-indeed also of-knowledge
πάνυ γε, ἔφη.
certainly at-least he-said

VII · KNOWLEDGE OF KNOWLEDGE

On this account the temperate man alone will know what he knows and what he does not, and examine others likewise. Socrates doubts both whether this is possible and whether it would help. No sight sees sight and no color, no hearing hears itself and no sound, and there is no desire of desire, wish of wish, love of love, or fear of fear. Whatever has its power toward itself must have the nature its power is toward: what is greater than itself must also be less, and hearing that hears itself must have a voice. Such things seem impossible among magnitudes and numbers.

ὁ ἄρα σώφρων μόνος αὐτός τε ἑαυτὸν γνώσεται καὶ 167
the then temperate alone himself both himself will-know and
οἷός τε ἔσται ἐξετάσαι τί τε τυγχάνει εἰδὼς καὶ τί
able — will-be to-examine what both he-happens knowing and what

μή, καὶ τοὺς ἄλλους ὡσαύτως δυνατὸς ἔσται ἐπισκοπεῖν
not and the others likewise able he-will-be to-examine
τί τις οἶδεν καὶ οἴεται, εἴπερ οἶδεν, καὶ τί αὖ οἴεται
what anyone knows and thinks if-indeed he-knows and what again he-thinks
μὲν εἰδέναι, οἶδεν δ' οὔ, τῶν δὲ ἄλλων οὐδείς· καὶ
indeed to-know he-knows but not of-the and others no-one and
ἔστιν δὴ τοῦτο τὸ σωφρονεῖν τε καὶ σωφροσύνη καὶ
it-is indeed this the to-be-temperate both and temperance and
τὸ ἑαυτὸν αὐτὸν γιγνώσκειν, τὸ εἰδέναι ἅ τε οἶδεν
the oneself himself to-know the to-know what both one-knows
καὶ ἃ μὴ οἶδεν. ἆρα ταῦτά ἐστιν ἃ λέγεις;
and what not one-knows then these-things are what you-mean
ἔγωγ', ἔφη.
I-at-least he-said
b πάλιν τοίνυν, ἦν δ' ἐγώ, τὸ τρίτον τῷ σωτῆρι, ὥσπερ
again then said — I the third to-the savior as
ἐξ ἀρχῆς ἐπισκεψώμεθα πρῶτον μὲν εἰ δυνατόν ἐστιν
from beginning let-us-examine first indeed whether possible it-is
τοῦτ' εἶναι ἢ οὔ — τὸ ἃ οἶδεν καὶ ἃ μὴ οἶδεν
this to-be or not the what one-knows and what not one-knows
εἰδέναι ὅτι οἶδε καὶ ὅτι οὐκ οἶδεν — ἔπειτα εἰ ὅτι
to-know that one-knows and that not one-knows then if as
μάλιστα δυνατόν, τίς ἂν εἴη ἡμῖν ὠφελία εἰδόσιν αὐτό.
most possible what — would-be to-us benefit knowing it
ἀλλὰ χρή, ἔφη, σκοπεῖν.
but it-is-needful he-said to-consider
ἴθι δή, ἔφην ἐγώ, ὦ Κριτία, σκέψαι, ἐάν τι περὶ
come indeed I-said I O Critias consider if anything about
αὐτῶν εὐπορώτερος φανῇς ἐμοῦ· ἐγὼ μὲν γὰρ ἀπορῶ.
them more-resourceful you-appear than-me I indeed for am-at-a-loss
ᾗ δὲ ἀπορῶ, φράσω σοι;
in-what and I-am-at-a-loss I-will-tell you

πάνυ γ', ἔφη.
certainly at-least he-said
ἄλλο τι οὖν, ἦν δ' ἐγώ, πάντα ταῦτ' ἂν εἴη, εἰ c
other anything then said — I all these-things — would-be if
ἔστιν ὅπερ σὺ νυνδὴ ἔλεγες, μία τις ἐπιστήμη, ἣ οὐκ
there-is which-very you just-now said one some knowledge which not
ἄλλου τινός ἐστιν ἢ ἑαυτῆς τε καὶ τῶν ἄλλων ἐπιστημῶν
of-other anything is than of-itself both and of-the other knowledges
ἐπιστήμη, καὶ δὴ καὶ ἀνεπιστημοσύνης ἡ αὐτὴ αὕτη;
knowledge and indeed also of-lack-of-knowledge the same this
πάνυ γε.
certainly at-least
ἰδὲ δὴ ὡς ἄτοπον ἐπιχειροῦμεν, ὦ ἑταῖρε, λέγειν· ἐν
see indeed how strange-thing we-attempt O comrade to-say in
ἄλλοις γάρ που τὸ αὐτὸ τοῦτο ἐὰν σκοπῇς, δόξει σοι,
other-cases for surely the same this if you-consider it-will-seem to-you
ὡς ἐγῷμαι, ἀδύνατον εἶναι.
as I-think impossible to-be
πῶς δὴ καὶ ποῦ;
how indeed and where
ἐν τοῖσδε. ἐννόει γὰρ εἴ σοι δοκεῖ ὄψις τις εἶναι, ἣ d
in these-cases consider for whether to-you seems sight some to-be which
ὧν μὲν αἱ ἄλλαι ὄψεις εἰσίν, οὐκ ἔστιν τούτων ὄψις,
of-what indeed the other sights are not is of-these sight
ἑαυτῆς δὲ καὶ τῶν ἄλλων ὄψεων ὄψις ἐστὶν καὶ μὴ ὄψεων
of-itself but and of-the other sights sight is and of-non sights
ὡσαύτως, καὶ χρῶμα μὲν ὁρᾷ οὐδὲν ὄψις οὖσα, αὑτὴν
likewise and color indeed sees none sight being itself
δὲ καὶ τὰς ἄλλας ὄψεις· δοκεῖ τίς σοι εἶναι τοιαύτη;
but and the other sights does-it-seem some to-you to-be such
μὰ Δί' οὐκ ἔμοιγε.
by Zeus not to-me-at-least

τί δὲ ἀκοήν, ἣ φωνῆς μὲν οὐδεμιᾶς ἀκούει, αὑτῆς δὲ
what and hearing which voice indeed no hears itself but
καὶ τῶν ἄλλων ἀκοῶν ἀκούει καὶ τῶν μὴ ἀκοῶν;
and the other hearings hears and the non hearings
οὐδὲ τοῦτο.
nor this
συλλήβδην δὴ σκόπει περὶ πασῶν τῶν αἰσθήσεων εἴ τίς
in-sum indeed consider about all the senses whether any
σοι δοκεῖ εἶναι αἰσθήσεων μὲν αἴσθησις καὶ ἑαυτῆς, ὧν δὲ
to-you seems to-be of-senses indeed sense and of-itself of-what and
δὴ αἱ ἄλλαι αἰσθήσεις αἰσθάνονται, μηδενὸς αἰσθανομένη;
indeed the other senses perceive nothing perceiving
οὐκ ἔμοιγε.
not to-me-at-least
e ἀλλ᾽ ἐπιθυμία δοκεῖ τίς σοι εἶναι, ἥτις ἡδονῆς μὲν
but desire seems some to-you to-be which of-pleasure indeed
οὐδεμιᾶς ἐστὶν ἐπιθυμία, αὑτῆς δὲ καὶ τῶν ἄλλων
no is desire of-itself but and of-the other
ἐπιθυμιῶν;
desires
οὐ δῆτα.
not indeed
οὐδὲ μὴν βούλησις, ὡς ἐγῷμαι, ἣ ἀγαθὸν μὲν οὐδὲν
nor indeed wish as I-think which good indeed none
βούλεται, αὑτὴν δὲ καὶ τὰς ἄλλας βουλήσεις βούλεται.
wishes itself but and the other wishes wishes
οὐ γὰρ οὖν.
not for indeed

ἔρωτα δὲ φαίης ἄν τινα εἶναι τοιοῦτον, ὃς τυγχάνει
love and would-you-say — some to-be such which happens
ὢν ἔρως καλοῦ μὲν οὐδενός, αὑτοῦ δὲ καὶ τῶν ἄλλων
being love of-beauty indeed of-none of-itself but and of-the other
ἐρώτων;
loves
οὔκ, ἔφη, ἔγωγε.
not he-said I-at-least
φόβον δὲ ἤδη τινὰ κατανενόηκας, ὃς ἑαυτὸν μὲν καὶ 168
fear and already any have-you-observed which itself indeed and
τοὺς ἄλλους φόβους φοβεῖται, τῶν δεινῶν δ' οὐδὲ ἕν
the other fears fears of-the terrible-things but not-even one
φοβεῖται;
fears
οὐ κατανενόηκα, ἔφη.
not I-have-observed he-said
δόξαν δὲ δοξῶν δόξαν καὶ αὐτῆς, ὧν δὲ αἱ ἄλλαι
opinion and of-opinions opinion and of-itself of-what but the other
δοξάζουσιν μηδὲν δοξάζουσαν;
opine nothing opining
οὐδαμῶς.
in-no-way
ἀλλ' ἐπιστήμην, ὡς ἔοικεν, φαμέν τινα εἶναι τοιαύτην,
but knowledge as it-seems we-say some to-be such
ἥτις μαθήματος μὲν οὐδενός ἐστιν ἐπιστήμη, αὐτῆς δὲ
which of-learning indeed of-none is knowledge of-itself but
καὶ τῶν ἄλλων ἐπιστημῶν ἐπιστήμη;
and of-the other knowledges knowledge
φαμὲν γάρ.
we-say for

οὐκοῦν ἄτοπον, εἰ ἄρα καὶ ἔστιν; μηδὲν γάρ πω
therefore strange if after-all also it-is nothing for yet
διισχυριζώμεθα ὡς οὐκ ἔστιν, ἀλλ' εἰ ἔστιν ἔτι
let-us-insist that not it-is but whether it-is still
σκοπῶμεν.
let-us-consider
b ὀρθῶς λέγεις.
rightly you-speak
φέρε δή· ἔστι μὲν αὕτη ἡ ἐπιστήμη τινὸς ἐπιστήμη,
come indeed is indeed this the knowledge of-something knowledge
καὶ ἔχει τινὰ τοιαύτην δύναμιν ὥστε τινὸς εἶναι· ἦ
and has some such power so-as of-something to-be is-it-not
γάρ;
for
πάνυ γε.
certainly at-least
καὶ γὰρ τὸ μεῖζόν φαμεν τοιαύτην τινὰ ἔχειν δύναμιν,
and for the greater we-say such some to-have power
ὥστε τινὸς εἶναι μεῖζον;
so-as than-something to-be greater
ἔχει γάρ.
it-has for
οὐκοῦν ἐλάττονός τινος, εἴπερ ἔσται μεῖζον.
therefore than-a-smaller something if-indeed it-will-be greater
ἀνάγκη.
necessity
c εἰ οὖν τι εὕροιμεν μεῖζον, ὃ τῶν μὲν μειζόνων
if then anything we-should-find greater which than-the indeed greater
ἐστὶν μεῖζον καὶ ἑαυτοῦ, ὧν δὲ τἆλλα μείζω ἐστὶν
is greater and than-itself than-what but the-other-things greater are

μηδενὸς μεῖζον, πάντως ἄν που ἐκεῖνό γ' αὐτῷ ὑπάρχοι,
than-none greater in-every-way — surely that at-least to-it would-belong
εἴπερ ἑαυτοῦ μεῖζον εἴη, καὶ ἔλαττον ἑαυτοῦ εἶναι· ἢ οὔ;
if-indeed than-itself greater it-were also smaller than-itself to-be or not
πολλὴ ἀνάγκη, ἔφη, ὦ Σώκρατες.
much necessity he-said O Socrates
οὐκοῦν καὶ εἴ τι διπλάσιόν ἐστιν τῶν τε ἄλλων
therefore also if anything double is of-the both other
διπλασίων καὶ ἑαυτοῦ, ἡμίσεος δήπου ὄντος ἑαυτοῦ τε
doubles and of-itself half surely being of-itself both
καὶ τῶν ἄλλων διπλάσιον ἂν εἴη· οὐ γάρ ἐστίν που
and of-the others double — would-be not for it-is surely
ἄλλου διπλάσιον ἢ ἡμίσεος.
of-another double than of-half
ἀληθῆ.
true
πλέον δὲ αὑτοῦ ὂν οὐ καὶ ἔλαττον ἔσται, καὶ βαρύτερον d
more and than-itself being not also less will-it-be and heavier
ὂν κουφότερον, καὶ πρεσβύτερον ὂν νεώτερον, καὶ
being lighter and older being younger and
τἆλλα πάντα ὡσαύτως, ὅτιπερ ἂν τὴν ἑαυτοῦ δύναμιν
the-other-things all likewise whatever — the of-itself power
πρὸς ἑαυτὸ ἔχῃ, οὐ καὶ ἐκείνην ἕξει τὴν οὐσίαν, πρὸς
toward itself has not also that will-it-have the being toward
ἣν ἡ δύναμις αὐτοῦ ἦν; λέγω δὲ τὸ τοιόνδε· οἷον ἡ ἀκοή,
which the power of-it was I-mean and the such as the hearing
φαμέν, οὐκ ἄλλου τινὸς ἦν ἀκοὴ ἢ φωνῆς· ἦ γάρ;
we-say not of-other anything was hearing than of-voice is-it-not for
ναί.
yes

οὐκοῦν εἴπερ αὐτὴ αὑτῆς ἀκούσεται, φωνὴν ἐχούσης
therefore if-indeed itself itself will-hear voice having
ἑαυτῆς ἀκούσεται· οὐ γὰρ ἂν ἄλλως ἀκούσειεν.
itself it-will-hear not for — otherwise it-could-hear
πολλὴ ἀνάγκη.
much necessity
e καὶ ἡ ὄψις γέ που, ὦ ἄριστε, εἴπερ ὄψεται αὐτὴ
and the sight at-least surely O best if-indeed it-will-see itself
ἑαυτήν, χρῶμά τι αὐτὴν ἀνάγκη ἔχειν· ἄχρων γὰρ ὄψις
itself color some it necessity to-have colorless for sight
οὐδὲν μή ποτε ἴδῃ.
nothing not ever may-see
οὐ γὰρ οὖν.
not for indeed
ὁρᾷς οὖν, ὦ Κριτία, ὅτι ὅσα διεληλύθαμεν, τὰ
do-you-see then O Critias that as-many-as we-have-gone-through the
μὲν αὐτῶν ἀδύνατα παντάπασι φαίνεται ἡμῖν, τὰ δ'
indeed of-them impossible altogether appear to-us the but
ἀπιστεῖται σφόδρα μή ποτ' ἂν τὴν ἑαυτῶν δύναμιν πρὸς
are-disbelieved greatly lest ever — the of-themselves power toward
ἑαυτὰ σχεῖν; μεγέθη μὲν γὰρ καὶ πλήθη καὶ τὰ τοιαῦτα
themselves to-have magnitudes indeed for and quantities and the such-things
παντάπασιν ἀδύνατον· ἢ οὐχί;
altogether impossible or not
πάνυ γε.
certainly at-least

Whether anything has its power toward itself needs a great man to decide, and Socrates will not accept that temperance is such a knowledge until he sees its use. Critias, embarrassed before the company, cannot answer. Granting the possibility, Socrates asks how knowing that one knows lets one know what one knows. Health is known by medicine and justice by politics; knowledge of knowledge alone knows only that one knows, not what. So the temperate man could not tell a real doctor from a pretender, since only medicine judges the healthy and the diseased.

ἀκοὴ δ᾽ αὖ καὶ ὄψις καὶ ἔτι γε κίνησις αὐτὴ ἑαυτὴν 169
hearing and again and sight and further at-least motion itself itself
κινεῖν, καὶ θερμότης κάειν, καὶ πάντα αὖ τὰ τοιαῦτα τοῖς
to-move and heat to-burn and all again the such-things to-some
μὲν ἀπιστίαν ἂν παράσχοι, ἴσως δέ τισιν οὔ. μεγάλου
indeed disbelief — might-provide perhaps and to-some not great
δή τινος, ὦ φίλε, ἀνδρὸς δεῖ, ὅστις τοῦτο κατὰ
indeed some O friend man it-needs who this in-the-case-of
πάντων ἱκανῶς διαιρήσεται, πότερον οὐδὲν τῶν ὄντων τὴν
all sufficiently will-distinguish whether nothing of-the beings the
αὑτοῦ δύναμιν αὐτὸ πρὸς ἑαυτὸ πέφυκεν ἔχειν, ἀλλὰ πρὸς
its-own power itself toward itself is-by-nature to-have but toward
ἄλλο, ἢ τὰ μέν, τὰ δ᾽ οὔ· καὶ εἰ ἔστιν αὖ ἅτινα
other or the-ones indeed the-others and not and if there-are again whichever
αὐτὰ πρὸς αὑτὰ ἔχει, ἆρ᾽ ἐν τούτοις ἐστὶν ἐπιστήμη,
themselves toward themselves have then among these is knowledge
ἣν δὴ ἡμεῖς σωφροσύνην φαμὲν εἶναι. ἐγὼ μὲν οὐ
which indeed we temperance say to-be I indeed not
πιστεύω ἐμαυτῷ ἱκανὸς εἶναι ταῦτα διελέσθαι· διὸ καὶ
trust myself competent to-be these-things to-distinguish wherefore also
οὔτ᾽ εἰ δυνατόν ἐστι τοῦτο γενέσθαι, ἐπιστήμης ἐπιστήμην
neither if possible it-is this to-come-about of-knowledge knowledge

εἶναι, ἔχω διισχυρίσασθαι, οὔτ' εἰ ὅτι μάλιστα ἔστι,
to-be can-I to-affirm nor if as most it-is
σωφροσύνην ἀποδέχομαι αὐτὸ εἶναι, πρὶν ἂν ἐπισκέψωμαι
temperance do-I-accept it to-be before — I-have-examined
εἴτε τι ἂν ἡμᾶς ὠφελοῖ τοιοῦτον ὂν εἴτε μή. τὴν
whether anything — us it-would-benefit such being or not the
γὰρ οὖν δὴ σωφροσύνην ὠφέλιμόν τι καὶ ἀγαθὸν
for then indeed temperance beneficial something and good
μαντεύομαι εἶναι· σὺ οὖν, ὦ παῖ Καλλαίσχρου — τίθεσαι
I-divine to-be you then O son of-Callaeschrus you-posit
γὰρ σωφροσύνην τοῦτ' εἶναι, ἐπιστήμην ἐπιστήμης καὶ
for temperance this to-be knowledge of-knowledge and
δὴ καὶ ἀνεπιστημοσύνης — πρῶτον μὲν τοῦτο ἔνδειξαι,
indeed also of-lack-of-knowledge first indeed this show
ὅτι δυνατὸν ὃ νυνδὴ ἔλεγον, ἔπειτα πρὸς τῷ δυνατῷ
that possible what just-now I-said then besides the possible
ὅτι καὶ ὠφέλιμον· κἀμὲ τάχ' ἂν ἀποπληρώσαις ὡς ὀρθῶς
that also beneficial and-me perhaps — you-might-satisfy that rightly
λέγεις περὶ σωφροσύνης ὃ ἔστιν.
you-say about temperance what it-is
d καὶ ὁ Κριτίας ἀκούσας ταῦτα καὶ ἰδών με ἀποροῦντα,
and — Critias having-heard these-things and having-seen me at-a-loss
ὥσπερ οἱ τοὺς χασμωμένους καταντικρὺ ὁρῶντες ταὐτὸν
as those the yawning opposite seeing the-same
τοῦτο συμπάσχουσιν, κἀκεῖνος ἔδοξέ μοι ὑπ' ἐμοῦ
this suffer-with and-that-one seemed to-me by me
ἀποροῦντος ἀναγκασθῆναι καὶ αὐτὸς ἁλῶναι ὑπὸ ἀπορίας.
being-at-a-loss to-be-compelled also himself to-be-caught by perplexity
ἅτε οὖν εὐδοκιμῶν ἑκάστοτε, ᾐσχύνετο τοὺς
since then being-well-thought-of each-time he-was-ashamed-before those
παρόντας, καὶ οὔτε συγχωρῆσαί μοι ἤθελεν ἀδύνατος
present and neither to-concede to-me was-he-willing unable

εἶναι διελέσθαι ἃ προυκαλούμην αὐτόν, ἔλεγέν τε οὐδὲν
to-be to-distinguish what I-challenged him he-said and nothing
σαφές, ἐπικαλύπτων τὴν ἀπορίαν. κἀγὼ ἡμῖν ἵνα ὁ
clear concealing the perplexity and-I for-us so-that the
λόγος προΐοι, εἶπον· ἀλλ᾽ εἰ δοκεῖ, ὦ Κριτία, νῦν μὲν
argument might-go-forward said but if it-seems O Critias now indeed
τοῦτο συγχωρήσωμεν, δυνατὸν εἶναι γενέσθαι ἐπιστήμην
this let-us-concede possible to-be to-come-about knowledge
ἐπιστήμης· αὖθις δὲ ἐπισκεψόμεθα εἴτε οὕτως ἔχει εἴτε μή.
of-knowledge again and we-will-examine whether so it-is or not
ἴθι δὴ οὖν, εἰ ὅτι μάλιστα δυνατὸν τοῦτο, τί μᾶλλον οἷόν
come indeed then if as most possible this why more possible
τέ ἐστιν εἰδέναι ἅ τέ τις οἶδε καὶ ἃ μή; τοῦτο γὰρ δήπου
— is-it to-know what both anyone knows and what not this for surely
ἔφαμεν εἶναι τὸ γιγνώσκειν αὐτὸν καὶ σωφρονεῖν· ἦ γάρ;
we-said to-be the to-know oneself and to-be-temperate is-it-not for
πάνυ γε, ἦ δ᾽ ὅς, καὶ συμβαίνει γέ που, ὦ Σώκρατες. e
certainly at-least said — he and it-follows at-least surely O Socrates
εἰ γάρ τις ἔχει ἐπιστήμην ἣ αὐτὴ αὑτὴν γιγνώσκει,
if for anyone has knowledge which itself itself knows
τοιοῦτος ἂν αὐτὸς εἴη οἷόνπερ ἐστὶν ὃ ἔχει· ὥσπερ
such — himself would-be as-very is what he-has as
ὅταν τάχος τις ἔχῃ, ταχύς, καὶ ὅταν κάλλος, καλός,
when quickness anyone has quick and when beauty beautiful
καὶ ὅταν γνῶσιν, γιγνώσκων, ὅταν δὲ δὴ γνῶσιν αὐτὴν
and when knowledge knowing when and indeed knowledge itself
αὑτῆς τις ἔχῃ, γιγνώσκων που αὐτὸς ἑαυτὸν τότε ἔσται.
of-itself anyone has knowing surely himself himself then he-will-be

οὐ τοῦτο, ἦν δ' ἐγώ, ἀμφισβητῶ, ὡς οὐχ ὅταν τὸ αὐτὸ
not this said — I I-dispute that not when the itself
γιγνῶσκόν τις ἔχῃ, αὐτὸς αὑτὸν γνώσεται, ἀλλ' ἔχοντι
knowing anyone has himself himself he-will-know but for-one-having
τοῦτο τίς ἀνάγκη εἰδέναι ἅ τε οἶδεν καὶ ἃ μὴ οἶδεν;
this what necessity to-know what both he-knows and what not he-knows
170 ὅτι, ὦ Σώκρατες, ταὐτόν ἐστιν τοῦτο ἐκείνῳ.
because O Socrates the-same is this with-that
ἴσως, ἔφην, ἀλλ' ἐγὼ κινδυνεύω ἀεὶ ὅμοιος εἶναι· οὐ
perhaps I-said but I risk always like to-be not
γὰρ αὖ μανθάνω ὡς ἔστιν τὸ αὐτό, ἃ οἶδεν εἰδέναι
for again I-understand how it-is the same what he-knows to-know
καὶ ἅ τις μὴ οἶδεν εἰδέναι.
and what anyone not knows to-know
πῶς λέγεις, ἔφη;
how do-you-mean he-said
ὧδε, ἦν δ' ἐγώ. ἐπιστήμη που ἐπιστήμης οὖσα ἆρα
thus said — I knowledge surely of-knowledge being then
πλέον τι οἵα τ' ἔσται διαιρεῖν, ἢ ὅτι τούτων τόδε
more anything able — will-it-be to-distinguish than that of-these this
μὲν ἐπιστήμη, τόδε δ' οὐκ ἐπιστήμη;
indeed knowledge this but not knowledge
οὔκ, ἀλλὰ τοσοῦτον.
no but so-much
b ταὐτὸν οὖν ἐστιν ἐπιστήμῃ τε καὶ ἀνεπιστημοσύνῃ
the-same then is-it knowledge both and lack-of-knowledge
ὑγιεινοῦ, καὶ ἐπιστήμῃ τε καὶ ἀνεπιστημοσύνῃ δικαίου;
of-healthy and knowledge both and lack-of-knowledge of-just
οὐδαμῶς.
in-no-way

ἀλλὰ τὸ μὲν οἶμαι ἰατρική, τὸ δὲ πολιτική, τὸ
but the-one indeed I-think medicine the-other and politics the-other
δὲ οὐδὲν ἄλλο ἢ ἐπιστήμη.
and nothing other than knowledge
πῶς γὰρ οὔ;
how for not
οὐκοῦν ἐὰν μὴ προσεπίστηταί τις τὸ ὑγιεινὸν καὶ τὸ
therefore if not knows-besides anyone the healthy and the
δίκαιον, ἀλλ᾽ ἐπιστήμην μόνον γιγνώσκῃ ἅτε τούτου
just but knowledge only knows since of-this
μόνον ἔχων ἐπιστήμην, ὅτι μέν τι ἐπίσταται καὶ
only having knowledge that indeed something he-knows and
ὅτι ἐπιστήμην τινὰ ἔχει, εἰκότως ἂν γιγνώσκοι καὶ περὶ
that knowledge some he-has reasonably — he-would-know both about
αὑτοῦ καὶ περὶ τῶν ἄλλων· ἦ γάρ;
himself and about the others is-it-not for
ναί.
yes
ὅτι δὲ γιγνώσκει, ταύτῃ τῇ ἐπιστήμῃ πῶς εἴσεται; γιγνώσκει c
what and he-knows by-this the knowledge how will-he-know he-knows
γὰρ δὴ τὸ μὲν ὑγιεινὸν τῇ ἰατρικῇ ἀλλ᾽ οὐ σωφροσύνῃ, τὸ
for indeed the indeed healthy by-the medicine but not by-temperance the
δ᾽ ἁρμονικὸν μουσικῇ ἀλλ᾽ οὐ σωφροσύνῃ, τὸ δ᾽ οἰκοδομικὸν
and harmonic by-music but not by-temperance the and of-building
οἰκοδομικῇ ἀλλ᾽ οὐ σωφροσύνῃ, καὶ οὕτω πάντα· ἢ οὔ;
by-building but not by-temperance and so all or not
φαίνεται.
it-appears

σωφροσύνῃ δέ, εἴπερ μόνον ἐστὶν ἐπιστημῶν ἐπιστήμη,
by-temperance but if-indeed only it-is of-knowledges knowledge
πῶς εἴσεται ὅτι τὸ ὑγιεινὸν γιγνώσκει ἢ ὅτι τὸ
how will-he-know that the healthy he-knows or that the
οἰκοδομικόν;
of-building
οὐδαμῶς.
in-no-way
οὐκ ἄρα εἴσεται ὃ οἶδεν ὁ τοῦτο ἀγνοῶν, ἀλλ' ὅτι
not then he-will-know what he-knows the-one this not-knowing but that
οἶδεν μόνον.
he-knows only
ἔοικεν.
it-seems
d οὐκ ἄρα σωφρονεῖν τοῦτ' ἂν εἴη οὐδὲ σωφροσύνη,
not then to-be-temperate this — would-be nor temperance
εἰδέναι ἅ τε οἶδεν καὶ ἃ μὴ οἶδεν, ἀλλ', ὡς ἔοικεν,
to-know what both he-knows and what not he-knows but as it-seems
ὅτι οἶδεν καὶ ὅτι οὐκ οἶδεν μόνον.
that he-knows and that not he-knows only
κινδυνεύει.
it-is-likely
οὐδὲ ἄλλον ἄρα οἷός τε ἔσται οὗτος ἐξετάσαι φάσκοντά
nor another then able — will-be this-one to-examine claiming
τι ἐπίστασθαι, πότερον ἐπίσταται ὅ φησιν ἐπίστασθαι
something to-know whether he-knows what he-says to-know
ἢ οὐκ ἐπίσταται· ἀλλὰ τοσοῦτον μόνον, ὡς ἔοικεν,
or not he-knows but so-much only as it-seems
γνώσεται, ὅτι ἔχει τινὰ ἐπιστήμην, ὅτου δέ γε, ἡ
he-will-know that he-has some knowledge of-what but at-least the
σωφροσύνη οὐ ποιήσει αὐτὸν γιγνώσκειν.
temperance not will-make him to-know

οὐ φαίνεται.

not it-appears

οὔτε ἄρα τὸν προσποιούμενον ἰατρὸν εἶναι, ὄντα δὲ e

neither then the-one pretending a-doctor to-be being but

μή, καὶ τὸν ὡς ἀληθῶς ὄντα οἷός τε ἔσται διακρίνειν,

not and the-one as truly being able — will-he-be to-distinguish

οὔτε ἄλλον οὐδένα τῶν ἐπιστημόνων καὶ μή. σκεψώμεθα

nor other anyone of-the knowing and not let-us-consider

δὲ ἐκ τῶνδε· εἰ μέλλει ὁ σώφρων ἢ ὁστισοῦν ἄλλος

and from these-things if is-going the temperate or anyone-whatever other

τὸν ὡς ἀληθῶς ἰατρὸν διαγνώσεσθαι καὶ τὸν μή, ἆρ᾽

the as truly doctor to-distinguish and the not then

οὐχ ὧδε ποιήσει· περὶ μὲν ἰατρικῆς δήπου αὐτῷ οὐ

not thus will-he-do about indeed medicine surely with-him not

διαλέξεται — οὐδὲν γὰρ ἐπαΐει, ὡς ἔφαμεν, ὁ ἰατρὸς

he-will-converse nothing for is-versed-in as we-said the doctor

ἀλλ᾽ ἢ τὸ ὑγιεινὸν καὶ τὸ νοσῶδες — ἢ οὔ;

but than the healthy and the diseased or not

ναί, οὕτως.

yes so

περὶ δέ γε ἐπιστήμης οὐδὲν οἶδεν, ἀλλὰ τοῦτο δὴ

about but at-least knowledge nothing he-knows but this indeed

τῇ σωφροσύνῃ μόνῃ ἀπέδομεν.

to-the temperance alone we-assigned

ναί.

yes

Temperance of this kind could not test any expert except a fellow craftsman. If it had been what they first supposed, knowing what one knows and does not, households and cities would be run without error, each task given to those who know it, and so all would fare well and be happy. But no such knowledge has appeared. Perhaps its benefit is only to learn more easily and examine others better; or perhaps they have been seeking nothing useful. Socrates now doubts even their admission that it would be a great good for each to do what he knows.

171 οὐδὲ περὶ ἰατρικῆς ἄρα οἶδεν ὁ ἰατρικός, ἐπειδήπερ ἡ
nor about medicine then knows the medical-man since-indeed the
ἰατρικὴ ἐπιστήμη οὖσα τυγχάνει.
medicine knowledge being happens
ἀληθῆ.
true
ὅτι μὲν δὴ ἐπιστήμην τινὰ ἔχει, γνώσεται ὁ σώφρων τὸν
that indeed indeed knowledge some he-has will-know the temperate the
ἰατρόν· δέον δὲ πεῖραν λαβεῖν ἥτις ἐστίν, ἄλλο τι
doctor it-being-needful and trial to-take what it-is other anything
σκέψεται ὧντινων; ἢ οὐ τούτῳ ὥρισται ἑκάστη ἐπιστήμη
will-be-consider of-what-things or not by-this has-been-defined each knowledge
μὴ μόνον ἐπιστήμη εἶναι ἀλλὰ καὶ τίς, τῷ τινῶν εἶναι;
not only knowledge to-be but also which by-the of-certain-things to-be
τούτῳ μὲν οὖν.
by-this indeed then
καὶ ἡ ἰατρικὴ δὴ ἑτέρα εἶναι τῶν ἄλλων ἐπιστημῶν
and the medicine indeed other to-be than-the other knowledges
ὡρίσθη τῷ τοῦ ὑγιεινοῦ εἶναι καὶ νοσώδους ἐπιστήμη.
was-defined by-the of-the healthy to-be and diseased knowledge
ναί.
yes

οὐκοῦν ἐν τούτοις ἀναγκαῖον σκοπεῖν τὸν βουλόμενον b
therefore in these necessary to-consider the-one wishing
ἰατρικὴν σκοπεῖν, ἐν οἷς ποτ᾽ ἔστιν· οὐ γὰρ δήπου ἔν
medicine to-consider in which ever it-is not for surely in
γε τοῖς ἔξω, ἐν οἷς οὐκ ἔστιν;
at-least the outside in which not it-is
οὐ δῆτα.
not indeed
ἐν τοῖς ὑγιεινοῖς ἄρα καὶ νοσώδεσιν ἐπισκέψεται τὸν
in the healthy then and diseased-things will-examine the
ἰατρόν, ᾗ ἰατρικός ἐστιν, ὁ ὀρθῶς σκοπούμενος.
doctor in-so-far-as medical he-is the-one rightly considering
ἔοικεν.
it-seems
οὐκοῦν ἐν τοῖς οὕτως ἢ λεγομένοις ἢ πραττομένοις τὰ
therefore in the so either said or done-things the
μὲν λεγόμενα, εἰ ἀληθῆ λέγεται, σκοπούμενος, τὰ δὲ
indeed said-things whether true-things are-said considering the and
πραττόμενα, εἰ ὀρθῶς πράττεται;
done-things whether rightly they-are-done
ἀνάγκη.
necessity
ᾗ οὖν ἄνευ ἰατρικῆς δύναιτ᾽ ἄν τις τούτων ποτέροις
truly then without medicine could — anyone of-these either
ἐπακολουθῆσαι;
to-follow
οὐ δῆτα.
not indeed
οὐδέ γε ἄλλος οὐδείς, ὡς ἔοικεν, πλὴν ἰατρός, οὔτε δὴ c
nor at-least other anyone as it-seems except a-doctor nor indeed
ὁ σώφρων· ἰατρὸς γὰρ ἂν εἴη πρὸς τῇ σωφροσύνῃ.
the temperate doctor for — he-would-be besides the temperance

ἔστι ταῦτα.

it-is these-things

παντὸς ἄρα μᾶλλον, εἰ ἡ σωφροσύνη ἐπιστήμης

than-anything then rather if the temperance of-knowledge

ἐπιστήμη μόνον ἐστὶν καὶ ἀνεπιστημοσύνης, οὔτε ἰατρὸν

knowledge only is and of-lack-of-knowledge neither doctor

διακρῖναι οἵα τε ἔσται ἐπιστάμενον τὰ τῆς τέχνης ἢ μὴ

to-distinguish able — will-it-be knowing the of-the art or not

ἐπιστάμενον, προσποιούμενον δὲ ἢ οἰόμενον, οὔτε ἄλλον

knowing pretending but or thinking nor other

οὐδένα τῶν ἐπισταμένων καὶ ὁτιοῦν, πλήν γε τὸν

anyone of-the knowing even anything-whatever except at-least the

αὑτοῦ ὁμότεχνον, ὥσπερ οἱ ἄλλοι δημιουργοί.

his-own fellow-craftsman as the other craftsmen

φαίνεται, ἔφη.

it-appears he-said

d τίς οὖν, ἦν δ' ἐγώ, ὦ Κριτία, ὠφελία ἡμῖν ἔτι ἂν εἴη

what then said — I O Critias benefit to-us still — would-be

ἀπὸ τῆς σωφροσύνης τοιαύτης οὔσης; εἰ μὲν γάρ, ὃ ἐξ

from the temperance such being if indeed for what from

ἀρχῆς ὑπετιθέμεθα, ᾔδει ὁ σώφρων ἅ τε ᾔδει καὶ ἃ

beginning we-were-supposing knew the temperate what both he-knew and what

μὴ ᾔδει, τὰ μὲν ὅτι οἶδεν, τὰ δ' ὅτι οὐκ οἶδεν, καὶ

not he-knew the-ones indeed that he-knows the-others and that not he-knows and

ἄλλον ταὐτὸν τοῦτο πεπονθότα ἐπισκέψασθαι οἷός τ' ἦν,

another the-same this having-experienced to-examine able — was

μεγαλωστὶ ἂν ἡμῖν, φαμέν, ὠφέλιμον ἦν σώφροσιν

most-greatly — for-us we-say beneficial it-would-be temperate

εἶναι· ἀναμάρτητοι γὰρ ἂν τὸν βίον διεζῶμεν αὐτοί

to-be without-error for — the life we-would-live-through ourselves

τε οἱ τὴν σωφροσύνην ἔχοντες καὶ οἱ ἄλλοι πάντες

both those the temperance having and the others all

ὅσοι ὑφ᾽ ἡμῶν ἤρχοντο. οὔτε γὰρ ἂν αὐτοὶ ἐπεχειροῦμεν
as-many-as by us were-ruled neither for — ourselves would-we-attempt
πράττειν ἃ μὴ ἠπιστάμεθα, ἀλλ᾽ ἐξευρίσκοντες τοὺς
to-do what not we-knew but finding-out those
ἐπισταμένους ἐκείνοις ἂν παρεδίδομεν, οὔτε τοῖς ἄλλοις
knowing to-those — we-would-hand-over nor to-the others
ἐπετρέπομεν, ὧν ἤρχομεν, ἄλλο τι πράττειν ἢ ὅτι
would-we-permit whom we-ruled other anything to-do than what
πράττοντες ὀρθῶς ἔμελλον πράξειν — τοῦτο δ᾽ ἦν ἄν,
doing rightly they-were-to to-do this and would-be —
οὗ ἐπιστήμην εἶχον — καὶ οὕτω δὴ ὑπὸ σωφροσύνης
of-which knowledge they-had and so indeed by temperance
οἰκία τε οἰκουμένη ἔμελλεν καλῶς οἰκεῖσθαι, πόλις τε
house both being-managed was-to finely to-be-managed city both
πολιτευομένη, καὶ ἄλλο πᾶν οὗ σωφροσύνη ἄρχοι·
being-governed and other all which temperance might-rule
ἁμαρτίας γὰρ ἐξῃρημένης, ὀρθότητος δὲ ἡγουμένης, ἐν 172
error for having-been-removed rightness and leading in
πάσῃ πράξει καλῶς καὶ εὖ πράττειν ἀναγκαῖον τοὺς
every action finely and well to-do necessary those
οὕτω διακειμένους, τοὺς δὲ εὖ πράττοντας εὐδαίμονας
so disposed the and well doing happy
εἶναι. ἆρ᾽ οὐχ οὕτως, ἦν δ᾽ ἐγώ, ὦ Κριτία, ἐλέγομεν
to-be then not so said — I O Critias were-we-saying
περὶ σωφροσύνης, λέγοντες ὅσον ἀγαθὸν εἴη τὸ
about temperance saying how-great good it-would-be the
εἰδέναι ἅ τε οἶδέν τις καὶ ἃ μὴ οἶδεν;
to-know what both knows anyone and what not he-knows
πάνυ μὲν οὖν, ἔφη, οὕτως.
certainly indeed then he-said so

νῦν δέ, ἦν δ' ἐγώ, ὁρᾷς ὅτι οὐδαμοῦ ἐπιστήμη οὐδεμία
now but said — I you-see that nowhere knowledge none
τοιαύτη οὖσα πέφανται.
such being has-appeared
ὁρῶ, ἔφη.
I-see he-said
b ἆρ' οὖν, ἦν δ' ἐγώ, τοῦτ' ἔχει τὸ ἀγαθὸν ἣν νῦν
so then said — I this has the good which now
εὑρίσκομεν σωφροσύνην οὖσαν, τὸ ἐπιστήμην ἐπίστασθαι
we-find temperance being the knowledge to-know
καὶ ἀνεπιστημοσύνην, ὅτι ὁ ταύτην ἔχων, ὅτι ἂν ἄλλο
and lack-of-knowledge that the-one this having whatever — else
μανθάνῃ, ῥᾷόν τε μαθήσεται καὶ ἐναργέστερα πάντα
he-learns more-easily both will-learn and clearer all-things
αὐτῷ φανεῖται, ἅτε πρὸς ἑκάστῳ ᾧ ἂν μανθάνῃ
to-him will-appear since in-addition-to each which — he-learns
προσκαθορῶντι τὴν ἐπιστήμην· καὶ τοὺς ἄλλους δὴ κάλλιον
seeing-besides the knowledge and the others indeed more-finely
ἐξετάσει περὶ ὧν ἂν καὶ αὐτὸς μάθῃ, οἱ δὲ ἄνευ τούτου
will-examine about whatever — also himself he-learns those and without this
ἐξετάζοντες ἀσθενέστερον καὶ φαυλότερον τοῦτο δράσουσιν;
examining more-weakly and more-poorly this will-do
ἆρ', ὦ φίλε, τοιαῦτα ἄττα ἐστὶν ἃ ἀπολαυσόμεθα
then O friend such some-things are which we-will-enjoy
τῆς σωφροσύνης, ἡμεῖς δὲ μεῖζόν τι βλέπομεν καὶ
from-the temperance we and greater something look-at and
ζητοῦμεν αὐτὸ μεῖζόν τι εἶναι ἢ ὅσον ἐστίν;
seek it greater something to-be than as-much-as it-is
τάχα δ' ἄν, ἔφη, οὕτως ἔχοι.
perhaps and — he-said so it-might-be

ἴσως, ἦν δ' ἐγώ· ἴσως δέ γε ἡμεῖς οὐδὲν χρηστὸν d
perhaps said — I perhaps and at-least we nothing useful
ἐζητήσαμεν. τεκμαίρομαι δέ, ὅτι μοι ἄτοπ' ἄττα
sought I-judge and because to-me strange some-things
καταφαίνεται περὶ σωφροσύνης, εἰ τοιοῦτόν ἐστιν. ἴδωμεν
appear about temperance if such it-is let-us-see
γάρ, εἰ βούλει, συγχωρήσαντες καὶ ἐπίστασθαι ἐπιστήμην
for if you-wish having-conceded both to-know knowledge
δυνατὸν εἶναι, καὶ ὅ γε ἐξ ἀρχῆς ἐτιθέμεθα
possible to-be and what at-least from beginning we-posited
σωφροσύνην εἶναι, τὸ εἰδέναι ἅ τε οἶδεν καὶ ἃ
temperance to-be the to-know what both one-knows and what
μὴ οἶδεν, μὴ ἀποστερήσωμεν, ἀλλὰ δῶμεν· καὶ πάντα
not one-knows not let-us-take-away but let-us-grant and all
ταῦτα δόντες ἔτι βέλτιον σκεψώμεθα εἰ ἄρα τι
these-things having-granted still better let-us-consider whether after-all anything
καὶ ἡμᾶς ὀνήσει τοιοῦτον ὄν. ἃ γὰρ νυνδὴ ἐλέγομεν,
also us it-will-benefit such being what for just-now we-were-saying
ὡς μέγα ἂν εἴη ἀγαθὸν ἡ σωφροσύνη εἰ τοιοῦτον
that great — would-be good the temperance if such
εἴη, ἡγουμένη διοικήσεως καὶ οἰκίας καὶ πόλεως, οὔ μοι
it-were leading of-management both of-house and of-city not to-me
δοκοῦμεν, ὦ Κριτία, καλῶς ὡμολογηκέναι.
we-seem O Critias finely to-have-agreed
πῶς δή; ἦ δ' ὅς.
how indeed said — he
ὅτι, ἦν δ' ἐγώ, ῥᾳδίως ὡμολογήσαμεν μέγα τι
because said — I easily we-agreed great some
ἀγαθὸν εἶναι τοῖς ἀνθρώποις εἰ ἕκαστοι ἡμῶν, ἃ μὲν
good to-be for-the humans if each of-us what indeed

ἴσασιν, πράττοιεν ταῦτα, ἃ δὲ μὴ ἐπίσταιντο, ἄλλοις
they-know should-do these-things what and not they-knew to-others
παραδιδοῖεν τοῖς ἐπισταμένοις.
should-hand-over to-those knowing
e οὐκ οὖν, ἔφη, καλῶς ὡμολογήσαμεν;
not then he-said finely did-we-agree
οὔ μοι δοκοῦμεν, ἦν δ' ἐγώ.
not to-me we-seem said — I
ἄτοπα λέγεις ὡς ἀληθῶς, ἔφη, ὦ Σώκρατες.
strange-things you-say as truly he-said O Socrates
νὴ τὸν κύνα, ἔφην, καὶ ἐμοί τοι δοκεῖ οὕτω, κἀνταῦθα καὶ
by the dog I-said also to-me surely it-seems so here-too and
ἄρτι ἀποβλέψας ἄτοπ' ἄττ' ἔφην μοι προφαίνεσθαι,
just-now having-looked-off strange some-things I-said to-me to-appear
καὶ ὅτι φοβοίμην μὴ οὐκ ὀρθῶς σκοποῖμεν.
and that I-feared lest not rightly we-were-considering

X · THE DREAM

Socrates doubts what good temperance does us and tells his dream: if temperance as now defined ruled, all would be done by knowledge, no pilot, doctor, or general could deceive us, and seers would foretell the future. Yet acting knowledgeably may not make us happy. Critias says the knowledge that does is not of leather or bronze but of good and evil; without it, Socrates adds, medicine, shoemaking, and piloting work, but not to our benefit. That is not temperance, he says; when Critias answers that temperance rules it too, Socrates replies that temperance, knowing only knowledge, makes no health.

ὡς ἀληθῶς γάρ, εἰ ὅτι μάλιστα τοιοῦτόν ἐστιν ἡ 173
as truly for if as most such is the
σωφροσύνη, οὐδέν μοι δῆλον εἶναι δοκεῖ ὅτι ἀγαθὸν ἡμᾶς
temperance nothing to-me clear to-be it-seems what good us
ἀπεργάζεται.
it-produces
πῶς δή; ἦ δ' ὅς. λέγε, ἵνα καὶ ἡμεῖς εἰδῶμεν ὅτι
how indeed said — he say so-that also we may-know what
λέγεις.
you-mean
οἶμαι μέν, ἦν δ' ἐγώ, ληρεῖν με· ὅμως τό γε
I-think indeed said — I to-talk-nonsense me nevertheless the at-least
προφαινόμενον ἀναγκαῖον σκοπεῖν καὶ μὴ εἰκῇ παριέναι,
appearing necessary to-consider and not at-random to-pass-by
εἴ τίς γε αὐτοῦ καὶ σμικρὸν κήδεται.
if anyone at-least of-himself even a-little cares
καλῶς γάρ, ἔφη, λέγεις.
finely for he-said you-speak
ἄκουε δή, ἔφην, τὸ ἐμὸν ὄναρ, εἴτε διὰ κεράτων εἴτε b
hear indeed I-said the my dream whether through horn or
δι' ἐλέφαντος ἐλήλυθεν. εἰ γὰρ ὅτι μάλιστα ἡμῶν ἄρχοι
through ivory it-has-come if for as most us should-rule
ἡ σωφροσύνη, οὖσα οἵαν νῦν ὁριζόμεθα, ἄλλο τι κατὰ
the temperance being such-as now we-define other anything according-to
τὰς ἐπιστήμας πάντ' ἂν πράττοιτο, καὶ οὔτε τις κυβερνήτης
the knowledges all-things — would-be-done and neither any pilot
φάσκων εἶναι, ὢν δὲ οὔ, ἐξαπατῷ ἂν ἡμᾶς, οὔτε ἰατρὸς
claiming to-be being but not would-deceive — us nor doctor
οὔτε στρατηγὸς οὔτ' ἄλλος οὐδείς, προσποιούμενός τι
nor general nor other anyone pretending something
εἰδέναι ὃ μὴ οἶδεν, λανθάνοι ἄν· ἐκ δὴ τούτων
to-know which not he-knows would-escape-notice — from indeed these-things

οὕτως ἐχόντων ἄλλο ἂν ἡμῖν τι συμβαίνοι ἢ ὑγιέσιν
so being other — to-us anything would-result than healthy
τε τὰ σώματα εἶναι μᾶλλον ἢ νῦν, καὶ ἐν τῇ θαλάττῃ
both the bodies to-be more than now and in the sea
κινδυνεύοντας καὶ ἐν πολέμῳ σῴζεσθαι, καὶ τὰ σκεύη καὶ
running-risks and in war to-be-saved and the utensils and
τὴν ἀμπεχόνην καὶ ὑπόδεσιν πᾶσαν καὶ τὰ χρήματα πάντα
the clothing and footwear all and the goods all
τεχνικῶς ἡμῖν εἰργασμένα εἶναι καὶ ἄλλα πολλὰ διὰ τὸ
expertly for-us wrought to-be and other many-things because-of the
ἀληθινοῖς δημιουργοῖς χρῆσθαι; εἰ δὲ βούλοιό γε, καὶ
true craftsmen to-use if and you-should-wish at-least also
τὴν μαντικὴν εἶναι συγχωρήσωμεν ἐπιστήμην τοῦ μέλλοντος
the divination to-be let-us-grant knowledge of-the about-to
ἔσεσθαι, καὶ τὴν σωφροσύνην, αὐτῆς ἐπιστατοῦσαν, τοὺς
to-be and the temperance it overseeing the
μὲν ἀλαζόνας ἀποτρέπειν, τοὺς δὲ ὡς ἀληθῶς μάντεις
indeed boasters to-turn-away the and as truly seers
καθιστάναι ἡμῖν προφήτας τῶν μελλόντων. κατεσκευασμένον
to-establish for-us as-prophets of-the future-things equipped
δὴ οὕτω τὸ ἀνθρώπινον γένος ὅτι μὲν ἐπιστημόνως ἂν
indeed so the human race that indeed knowledgeably —
πράττοι καὶ ζῴη, ἕπομαι — ἡ γὰρ σωφροσύνη φυλάττουσα
it-would-act and live I-follow the for temperance guarding
οὐκ ἂν ἐῴη παρεμπίπτουσαν τὴν ἀνεπιστημοσύνην
not — would-allow slipping-in the lack-of-knowledge
συνεργὸν ἡμῖν εἶναι — ὅτι δ' ἐπιστημόνως ἂν πράττοντες
fellow-worker to-us to-be that but knowledgeably — acting
εὖ ἂν πράττοιμεν καὶ εὐδαιμονοῖμεν, τοῦτο δὲ οὔπω
well — we-would-fare and be-happy this but not-yet
δυνάμεθα μαθεῖν, ὦ φίλε Κριτία.
we-can to-learn O dear Critias

ἀλλὰ μέντοι, ἦ δ' ὅς, οὐ ῥᾳδίως εὑρήσεις ἄλλο τι τέλος
but however said — he not easily you-will-find other any end
τοῦ εὖ πράττειν, ἐὰν τὸ ἐπιστημόνως ἀτιμάσῃς.
of-the well faring if the knowledgeably you-disdain
σμικρὸν τοίνυν με, ἦν δ' ἐγώ, ἔτι προσδίδαξον. τίνος
little then me said — I further teach-besides of-what
ἐπιστημόνως λέγεις; ἦ σκυτῶν τομῆς;
knowledgeably do-you-mean truly of-leathers cutting
μὰ Δί' οὐκ ἔγωγε. e
by Zeus not I-at-least
ἀλλὰ χαλκοῦ ἐργασίας;
but of-bronze working
οὐδαμῶς.
in-no-way
ἀλλὰ ἐρίων ἢ ξύλων ἢ ἄλλου του τῶν τοιούτων;
but of-wools or of-woods or other any of-the such-things
οὐ δῆτα.
not indeed
οὐκ ἄρα, ἦν δ' ἐγώ, ἔτι ἐμμένομεν τῷ λόγῳ τῷ εὐδαίμονα
not then said — I still we-abide-by the argument the happy
εἶναι τὸν ἐπιστημόνως ζῶντα. οὗτοι γὰρ ἐπιστημόνως
to-be the-one knowledgeably living these for knowledgeably
ζῶντες οὐχ ὁμολογοῦνται παρὰ σοῦ εὐδαίμονες εἶναι,
living not are-agreed by you happy to-be
ἀλλὰ περί τινων ἐπιστημόνως ζῶντα σὺ δοκεῖς μοι
but about some-things knowledgeably living you seem to-me
ἀφορίζεσθαι τὸν εὐδαίμονα.
to-mark-off the happy

174 καὶ ἴσως λέγεις ὃν νυνδὴ ἐγὼ ἔλεγον, τὸν εἰδότα τὰ
and perhaps you-mean whom just-now I was-saying the-one knowing the
μέλλοντα ἔσεσθαι πάντα, τὸν μάντιν. τοῦτον ἢ ἄλλον
future-things to-be all the seer this-one or other
τινὰ λέγεις;
some you-mean
καὶ τοῦτον ἔγωγε, ἔφη, καὶ ἄλλον.
both this-one I-at-least he-said and another
τίνα; ἦν δ' ἐγώ. ἆρα μὴ τὸν τοιόνδε, εἴ τις πρὸς τοῖς
whom said — I then not the such if anyone besides the
μέλλουσιν καὶ τὰ γεγονότα πάντα εἰδείη καὶ τὰ νῦν
future-things also the past-things all should-know and the now
ὄντα, καὶ μηδὲν ἀγνοοῖ; θῶμεν γάρ τινα εἶναι αὐτόν.
being and nothing should-not-know let-us-suppose for some to-be him
οὐ γὰρ οἶμαι τούτου γε ἔτι ἂν εἴποις οὐδένα
not for I-think than-this-one at-least still — you-would-say anyone
ἐπιστημονέστερον ζῶντα εἶναι.
more-knowledgeably living to-be
οὐ δῆτα.
not indeed
τόδε δὴ ἔτι προσποθῶ, τίς αὐτὸν τῶν ἐπιστημῶν ποιεῖ
this indeed still I-want-besides which him of-the knowledges makes
εὐδαίμονα; ἢ ἅπασαι ὁμοίως;
happy or all alike
οὐδαμῶς ὁμοίως, ἔφη.
in-no-way alike he-said
b ἀλλὰ ποία μάλιστα; ἦ τί οἶδεν καὶ τῶν ὄντων καὶ
but what-sort most by-which what he-knows both of-the being and
τῶν γεγονότων καὶ τῶν μελλόντων ἔσεσθαι; ἆρά γε
of-the past and of-the about-to to-be then at-least
ἦ τὸ πεττευτικόν;
by-which the art-of-checkers

ποῖον, ἦ δ' ὅς, πεττευτικόν;
what-sort said — he art-of-checkers
ἀλλ' ᾗ τὸ λογιστικόν;
but by-which the calculating
οὐδαμῶς.
in-no-way
ἀλλ' ᾗ τὸ ὑγιεινόν;
but by-which the healthy
μᾶλλον, ἔφη.
rather he-said
ἐκείνη δ' ἣν λέγω μάλιστα, ἣν δ' ἐγώ, ᾗ τί;
that and which I-mean most said — I by-which what
ᾗ τὸ ἀγαθόν, ἔφη, καὶ τὸ κακόν.
by-which the good he-said and the evil
ὦ μιαρέ, ἔφην ἐγώ, πάλαι με περιέλκεις κύκλῳ, c
O rascal I-said I all-along me you-drag-around in-a-circle
ἀποκρυπτόμενος ὅτι οὐ τὸ ἐπιστημόνως ἣν ζῆν τὸ εὖ
concealing that not the knowledgeably was to-live the well
πράττειν τε καὶ εὐδαιμονεῖν ποιοῦν, οὐδὲ συμπασῶν τῶν
to-fare both and to-be-happy making nor of-all-together the
ἄλλων ἐπιστημῶν, ἀλλὰ μιᾶς οὔσης ταύτης μόνον τῆς περὶ
other knowledges but one being of-this only the about
τὸ ἀγαθόν τε καὶ κακόν. ἐπεί, ὦ Κριτία, εἰ 'θέλεις ἐξελεῖν
the good both and evil since O Critias if you-wish to-remove
ταύτην τὴν ἐπιστήμην ἐκ τῶν ἄλλων ἐπιστημῶν, ἧττόν τι
this the knowledge from the other knowledges less at-all
ἡ μὲν ἰατρικὴ ὑγιαίνειν ποιήσει, ἡ δὲ σκυτικὴ ὑποδεδέσθαι,
the indeed medicine to-be-healthy will-make the and shoemaking to-be-shod
ἡ δὲ ὑφαντικὴ ἠμφιέσθαι, ἡ δὲ κυβερνητικὴ κωλύσει ἐν
the and weaving to-be-clothed the and piloting will-prevent in
τῇ θαλάττῃ ἀποθνῄσκειν καὶ ἡ στρατηγικὴ ἐν πολέμῳ;
the sea to-die and the generalship in war

οὐδὲν ἧττον, ἔφη.
nothing less he-said

d ἀλλ', ὦ φίλε Κριτία, τὸ εὖ γε τούτων ἕκαστα γίγνεσθαι
but O dear Critias the well at-least of-these each to-come-about
καὶ ὠφελίμως ἀπολελοιπὸς ἡμᾶς ἔσται ταύτης ἀπούσης.
and beneficially having-left us will-be this being-absent
ἀληθῆ λέγεις.
true-things you-say
οὐχ αὕτη δέ γε, ὡς ἔοικεν, ἐστὶν ἡ σωφροσύνη, ἀλλ'
not this but at-least as it-seems is the temperance but
ἧς ἔργον ἐστὶν τὸ ὠφελεῖν ἡμᾶς. οὐ γὰρ ἐπιστημῶν
of-which work is the to-benefit us not for of-knowledges
γε καὶ ἀνεπιστημοσυνῶν ἡ ἐπιστήμη ἐστίν, ἀλλὰ
at-least and lacks-of-knowledge the knowledge is but
ἀγαθοῦ τε καὶ κακοῦ· ὥστε εἰ αὕτη ἐστὶν ὠφέλιμος, ἡ
of-good both and evil so-that if this is beneficial the
σωφροσύνη ἄλλο τι ἂν εἴη ἡμῖν.
temperance other something — would-be for-us

e τί δ', ἦ δ' ὅς, οὐκ ἂν αὕτη ὠφελοῖ; εἰ γὰρ ὅτι μάλιστα
what and said — he not — this would-benefit if for as most
τῶν ἐπιστημῶν ἐπιστήμη ἐστὶν ἡ σωφροσύνη, ἐπιστατεῖ
of-the knowledges knowledge is the temperance presides
δὲ καὶ ταῖς ἄλλαις ἐπιστήμαις, καὶ ταύτης δήπου ἂν
and also over-the other knowledges also this surely —
ἄρχουσα τῆς περὶ τἀγαθὸν ἐπιστήμης ὠφελοῖ ἂν ἡμᾶς.
ruling the about the-good knowledge would-benefit — us
ἦ κἂν ὑγιαίνειν ποιοῖ, ἦν δ' ἐγώ, αὕτη, ἀλλ' οὐχ
truly also to-be-healthy would-make said — I this but not
ἡ ἰατρική; καὶ τἆλλα τὰ τῶν τεχνῶν αὕτη ἂν
the medicine and the-other-things the of-the arts this —
ποιοῖ, καὶ οὐχ αἱ ἄλλαι τὸ αὑτῆς ἔργον ἑκάστη; ἢ
would-make and not the others the its-own work each or

οὐ πάλαι διεμαρτυρόμεθα ὅτι ἐπιστήμης μόνον ἐστὶν καὶ
not long-ago we-protested that of-knowledge only it-is and
ἀνεπιστημοσύνης ἐπιστήμη, ἄλλου δὲ οὐδενός· οὐχ οὕτω;
of-lack-of-knowledge knowledge of-other and nothing not so
φαίνεταί γε.
it-appears at-least
οὐκ ἄρα ὑγιείας ἔσται δημιουργός;
not then of-health will-it-be craftsman
οὐ δῆτα.
not indeed

XI · CHARMIDES SUBMITS

Socrates concludes that he is a poor inquirer: they have granted every doubtful point and still not found what the lawgiver named temperance, which has turned out useless. He grieves for Charmides, and for the charm he learned with such pains, and says Charmides, if temperate, is blessed and needs no charm. Charmides says he cannot know whether he has what they cannot define, and asks to be charmed daily. Critias takes this as proof of his temperance and tells him not to leave Socrates. The two say they have decided and will use force, and Socrates says he will not resist.

ἄλλης γὰρ ἦν τέχνης ὑγίεια· ἢ οὔ; 175
of-another for was art health or not
ἄλλης.
of-another
οὐδ' ἄρα ὠφελίας, ὦ ἑταῖρε· ἄλλῃ γὰρ αὖ ἀπέδομεν
nor then of-benefit O comrade to-another for again we-assigned
τοῦτο τὸ ἔργον τέχνῃ νυνδή· ἦ γάρ;
this the work art just-now is-it-not for
πάνυ γε.
certainly at-least

πῶς οὖν ὠφέλιμος ἔσται ἡ σωφροσύνη, οὐδεμιᾶς ὠφελίας
how then beneficial will-be the temperance of-no benefit
οὖσα δημιουργός;
being craftsman
οὐδαμῶς, ὦ Σώκρατες, ἔοικέν γε.
in-no-way O Socrates it-seems at-least
b ὁρᾷς οὖν, ὦ Κριτία, ὡς ἐγὼ πάλαι εἰκότως ἐδεδοίκη
you-see then O Critias how I long-ago reasonably had-feared
καὶ δικαίως ἐμαυτὸν ᾐτιώμην ὅτι οὐδὲν χρηστὸν
and justly myself blamed that nothing useful
περὶ σωφροσύνης σκοπῶ; οὐ γὰρ ἄν που ὅ γε
about temperance I-consider not for — surely what at-least
κάλλιστον πάντων ὁμολογεῖται εἶναι, τοῦτο ἡμῖν ἀνωφελὲς
finest of-all is-agreed to-be this to-us useless
ἐφάνη, εἴ τι ἐμοῦ ὄφελος ἦν πρὸς τὸ καλῶς ζητεῖν.
would-have-appeared if any of-me use there-was toward the finely to-seek
νῦν δὲ πανταχῇ γὰρ ἡττώμεθα, καὶ οὐ δυνάμεθα εὑρεῖν ἐφ'
now but in-every-way for we-are-beaten and not we-can to-find to
ὅτῳ ποτὲ τῶν ὄντων ὁ νομοθέτης τοῦτο τοὔνομα ἔθετο,
what ever of-the beings the lawgiver this the-name set
τὴν σωφροσύνην. καίτοι πολλά γε συγκεχωρήκαμεν
the temperance and-yet many-things at-least we-have-conceded
οὐ συμβαίνονθ' ἡμῖν ἐν τῷ λόγῳ. καὶ γὰρ ἐπιστήμην
not following for-us in the argument and for knowledge
ἐπιστήμης εἶναι συνεχωρήσαμεν, οὐκ ἐῶντος τοῦ λόγου οὐδὲ
of-knowledge to-be we-conceded not allowing the argument nor
φάσκοντος εἶναι· καὶ ταύτῃ αὖ τῇ ἐπιστήμῃ καὶ τὰ τῶν
claiming to-be and to-this again the knowledge also the of-the
ἄλλων ἐπιστημῶν ἔργα γιγνώσκειν συνεχωρήσαμεν, οὐδὲ
other knowledges works to-know we-conceded nor
τοῦτ' ἐῶντος τοῦ λόγου, ἵνα δὴ ἡμῖν γένοιτο ὁ σώφρων
this allowing the argument so-that indeed for-us might-become the temperate

ἐπιστήμων ὧν τε οἶδεν ὅτι οἶδεν, καὶ ὧν μὴ οἶδεν ὅτι
knower of-what both he-knows that he-knows and of-what not he-knows that
οὐκ οἶδεν. τοῦτο μὲν δὴ καὶ παντάπασι μεγαλοπρεπῶς
not he-knows this indeed indeed also altogether magnificently
συνεχωρήσαμεν, οὐδ' ἐπισκεψάμενοι τὸ ἀδύνατον εἶναι ἅ
we-conceded not-even having-examined the impossible to-be what
τις μὴ οἶδεν μηδαμῶς, ταῦτα εἰδέναι ἁμῶς γέ πως·
anyone not knows in-no-way these-things to-know in-some-way at-least somehow
ὅτι γὰρ οὐκ οἶδεν, φησὶν αὐτὰ εἰδέναι ἡ ἡμετέρα ὁμολογία.
that for not he-knows says them to-know the our agreement
καίτοι, ὡς ἐγῷμαι, οὐδενὸς ὅτου οὐχὶ ἀλογώτερον τοῦτ' 176
and-yet as I-think than-nothing whatever not more-irrational this
ἂν φανείη. ἀλλ' ὅμως οὕτως ἡμῶν εὐηθικῶν τυχοῦσα
— would-appear but nevertheless so us simple-minded having-met-with
ἡ ζήτησις καὶ οὐ σκληρῶν, οὐδέν τι μᾶλλον εὑρεῖν
the inquiry and not hard nothing at-all more to-find
δύναται τὴν ἀλήθειαν, ἀλλὰ τοσοῦτον κατεγέλασεν αὐτῆς,
is-able the truth but so-much it-laughed-at it
ὥστε ὃ ἡμεῖς πάλαι συνομολογοῦντες καὶ συμπλάττοντες
that what we long-ago agreeing and fashioning-together
ἐτιθέμεθα σωφροσύνην εἶναι, τοῦτο ἡμῖν πάνυ ὑβριστικῶς
posited temperance to-be this to-us very insolently
ἀνωφελὲς ὂν ἀπέφαινε. τὸ μὲν οὖν ἐμὸν καὶ ἧττον
useless being it-showed the indeed then mine even less
ἀγανακτῶ· ὑπὲρ δὲ σοῦ, ἦν δ' ἐγώ, ὦ Χαρμίδη, πάνυ
I-am-vexed on-behalf-of but you said — I O Charmides very
ἀγανακτῶ, εἰ σὺ τοιοῦτος ὢν τὴν ἰδέαν καὶ πρὸς τούτῳ
I-am-vexed if you such being in-the form and besides this
τὴν ψυχὴν σωφρονέστατος, μηδὲν ὀνήσῃ ἀπὸ ταύτης τῆς
the soul most-temperate nothing will-profit from this the
σωφροσύνης μηδέ τί σ' ὠφελήσει ἐν τῷ βίῳ παροῦσα.
temperance nor at-all you it-will-benefit in the life being-present

ἔτι δὲ μᾶλλον ἀγανακτῶ ὑπὲρ τῆς ἐπῳδῆς ἣν παρὰ
further and more I-am-vexed on-behalf-of the charm which from
τοῦ Θρᾳκὸς ἔμαθον, εἰ μηδενὸς ἀξίου πράγματος οὖσαν
the Thracian I-learned if of-no worth thing being
αὐτὴν μετὰ πολλῆς σπουδῆς ἐμάνθανον. ταῦτ' οὖν πάνυ
it with much earnestness I-learned these-things then very
μὲν οὐκ οἴομαι οὕτως ἔχειν, ἀλλ' ἐμὲ φαῦλον εἶναι
indeed not I-think so to-be but me poor to-be
ζητητήν· ἐπεὶ τήν γε σωφροσύνην μέγα τι ἀγαθὸν
inquirer since the at-least temperance great some good
εἶναι, καὶ εἴπερ γε ἔχεις αὐτό, μακάριον εἶναί σε.
to-be and if-indeed at-least you-have it blessed to-be you
ἀλλ' ὅρα εἰ ἔχεις τε καὶ μηδὲν δέῃ τῆς ἐπῳδῆς·
but see if you-have both and nothing you-need of-the charm
εἰ γὰρ ἔχεις, μᾶλλον ἂν ἔγωγέ σοι συμβουλεύσαιμι ἐμὲ
if for you-have rather — I-at-least you would-advise me
μὲν λῆρον ἡγεῖσθαι εἶναι καὶ ἀδύνατον λόγῳ ὁτιοῦν
indeed nonsense to-consider to-be and unable by-speech anything-whatever
ζητεῖν, σεαυτὸν δέ, ὅσῳπερ σωφρονέστερος εἶ, τοσούτῳ
to-seek yourself and by-as-much-as more-temperate you-are by-so-much
εἶναι καὶ εὐδαιμονέστερον.
to-be also happier

b καὶ ὁ Χαρμίδης, ἀλλὰ μὰ Δί', ἦ δ' ὅς, ἔγωγε, ὦ
and — Charmides but by Zeus said — he I-at-least O
Σώκρατες, οὐκ οἶδα οὔτ' εἰ ἔχω οὔτ' εἰ μὴ ἔχω· πῶς γὰρ
Socrates not know neither if I-have nor if not I-have how for
ἂν εἰδείην ὅ γε μηδ' ὑμεῖς οἷοί τέ ἐστε ἐξευρεῖν
— could-I-know what at-least not-even you able — are to-find-out
ὅτι ποτ' ἔστιν, ὡς φῂς σύ; ἐγὼ μέντοι οὐ πάνυ σοι
what ever it-is as say you I however not very you
πείθομαι, καὶ ἐμαυτόν, ὦ Σώκρατες, πάνυ οἶμαι δεῖσθαι
obey and myself O Socrates very I-think to-need

τῆς ἐπῳδῆς, καὶ τό γ' ἐμὸν οὐδὲν κωλύει ἐπᾴδεσθαι
the charm and the at-least mine nothing hinders to-be-charmed
ὑπὸ σοῦ ὅσαι ἡμέραι, ἕως ἂν φῇς σὺ ἱκανῶς ἔχειν.
by you as-many-as days until — say you sufficiently to-be
εἶεν· ἀλλ', ἔφη ὁ Κριτίας, ὦ Χαρμίδη, ἢν δρᾷς τοῦτο
well but said — Critias O Charmides if you-do this
ἔμοιγ' ἔσται τοῦτο τεκμήριον ὅτι σωφρονεῖς, ἢν
to-me-at-least will-be this proof that you-are-temperate if
ἐπᾴδειν παρέχῃς Σωκράτει καὶ μὴ ἀπολείπῃ τούτου μήτε
to-charm you-allow Socrates and not leave this-one neither
μέγα μήτε σμικρόν.
great nor small
ὡς ἀκολουθήσοντος, ἔφη, καὶ μὴ ἀπολειψομένου· δεινὰ c
as going-to-follow he-said and not going-to-leave terrible-things
γὰρ ἂν ποιοίην, εἰ μὴ πειθοίμην σοὶ τῷ ἐπιτρόπῳ καὶ
for — I-would-do if not I-should-obey you the guardian and
μὴ ποιοίην ἃ κελεύεις.
not should-do what you-bid
ἀλλὰ μήν, ἔφη, κελεύω ἔγωγε.
but indeed he-said I-bid I-at-least
ποιήσω τοίνυν, ἔφη, ἀπὸ ταυτησὶ τῆς ἡμέρας ἀρξάμενος.
I-will-do then he-said from this-very the day beginning
οὗτοι, ἦν δ' ἐγώ, τί βουλεύεσθον ποιεῖν;
these said — I what are-you-two-deliberating to-do
οὐδέν, ἔφη ὁ Χαρμίδης, ἀλλὰ βεβουλεύμεθα.
nothing said — Charmides but we-have-deliberated
βιάσῃ ἄρα, ἦν δ' ἐγώ, καὶ οὐδ' ἀνάκρισίν μοι
you-will-use-force then said — I and not-even preliminary-hearing to-me
δώσεις;
will-you-give

ὡς βιασομένου, ἔφη, ἐπειδήπερ ὅδε γε ἐπιτάττει· πρὸς
as going-to-use-force he-said since this-one at-least commands toward
ταῦτα σὺ αὖ βουλεύου ὅτι ποιήσεις.
these-things you again deliberate what you-will-do
d ἀλλ' οὐδεμία, ἔφην ἐγώ, λείπεται βουλή· σοὶ γὰρ
but no I-said I is-left deliberation to-you for
ἐπιχειροῦντι πράττειν ὁτιοῦν καὶ βιαζομένῳ οὐδεὶς
attempting to-do anything-whatever and using-force no-one
οἷός τ' ἔσται ἐναντιοῦσθαι ἀνθρώπων.
able — will-be to-oppose of-men
μὴ τοίνυν, ἦ δ' ὅς, μηδὲ σὺ ἐναντιοῦ.
not then said — he nor you oppose
οὐ τοίνυν, ἦν δ' ἐγώ, ἐναντιώσομαι.
not then said — I I-will-oppose

PLATO

ΛΥΣΙΣ

Lysis

Walking from the Academy to the Lyceum, Socrates meets Hippothales, Ctesippus, and other young men at a new wrestling school, where the sophist Miccus teaches. Asked who the beautiful boy is, Hippothales blushes, and Socrates, who can always tell a lover, presses him. Ctesippus says Hippothales deafens them with Lysis, son of Democrates, in prose, poems, and song, praising what the whole city sings: the family's wealth, chariot victories, and descent from Zeus. Socrates tells him he is singing his own praise before he has won.

ἐπορευόμην μὲν ἐξ Ἀκαδημείας εὐθὺ Λυκείου τὴν ἔξω 203
I-was-going indeed from the-Academy straight-to the-Lyceum the outside
τείχους ὑπ' αὐτὸ τὸ τεῖχος· ἐπειδὴ δ' ἐγενόμην κατὰ
the-wall under itself the wall when and I-came by
τὴν πυλίδα ᾗ ἡ Πάνοπος κρήνη, ἐνταῦθα συνέτυχον
the postern where the of-Panops spring there I-met
Ἱππoθάλει τε τῷ Ἱερωνύμου καὶ Κτησίππῳ τῷ Παιανιεῖ
Hippothales both the (son)-of-Hieronymus and Ctesippus the Paeanian
καὶ ἄλλοις μετὰ τούτων νεανίσκοις ἁθρόοις συνεστῶσι.
and others with these young-men in-a-crowd standing-together
καί με προσιόντα ὁ Ἱππoθάλης ἰδών, ὦ Σώκρατες,
and me approaching — Hippothales having-seen O Socrates
ἔφη, ποῖ δὴ πορεύῃ καὶ πόθεν;
he-said whither indeed are-you-going and whence
ἐξ Ἀκαδημείας, ἦν δ' ἐγώ, πορεύομαι εὐθὺ Λυκείου.
from the-Academy said — I I-am-going straight-to the-Lyceum
δεῦρο δή, ἦ δ' ὅς, εὐθὺ ἡμῶν. οὐ παραβάλλεις; ἄξιον
hither indeed said — he straight-to us not do-you-turn-aside worth-it
μέντοι.
however
ποῖ, ἔφην ἐγώ, λέγεις, καὶ παρὰ τίνας τοὺς ὑμᾶς;
whither I-said I do-you-mean and to whom the you

δεῦρο, ἔφη, δείξας μοι ἐν τῷ καταντικρὺ τοῦ τείχους
hither he-said having-shown me in the opposite of-the wall
περίβολόν τέ τινα καὶ θύραν ἀνεῳγμένην. διατρίβομεν δέ, ἦ
enclosure both some and door opened we-spend-time and said
δ' ὅς, αὐτόθι ἡμεῖς τε αὐτοὶ καὶ ἄλλοι πάνυ πολλοὶ καὶ καλοί.
— he there we both ourselves and others very many and beautiful
204 ἔστιν δὲ δὴ τί τοῦτο, καὶ τίς ἡ διατριβή;
is and indeed what this and what the pastime
παλαίστρα, ἔφη, νεωστὶ ᾠκοδομημένη· ἡ δὲ διατριβὴ τὰ
a-wrestling-school he-said lately built the and pastime the
πολλὰ ἐν λόγοις, ὧν ἡδέως ἄν σοι μεταδιδοῖμεν.
most in speeches of-which gladly — to-you we-would-give-a-share
καλῶς γε, ἦν δ' ἐγώ, ποιοῦντες· διδάσκει δὲ τίς αὐτόθι;
finely at-least said — I doing teaches and who there
σὸς ἑταῖρός γε, ἦ δ' ὅς, καὶ ἐπαινέτης, Μίκκος.
your comrade at-least said — he and admirer Miccus
μὰ Δία, ἦν δ' ἐγώ, οὐ φαῦλός γε ἀνήρ, ἀλλ' ἱκανὸς
by Zeus said — I not poor at-least the-man but competent
σοφιστής.
sophist
βούλει οὖν ἕπεσθαι, ἔφη, ἵνα καὶ ἴδῃς τοὺς ὄντας
do-you-wish then to-follow he-said so-that also you-may-see those being
αὐτόθι;
there
b πρῶτον ἡδέως ἀκούσαιμ' ἂν ἐπὶ τῷ καὶ εἴσειμι καὶ τίς
first gladly would-I-hear — on what also I-shall-go-in and who
ὁ καλός.
the beautiful-one
ἄλλος, ἔφη, ἄλλῳ ἡμῶν δοκεῖ, ὦ Σώκρατες.
one he-said to-another of-us seems O Socrates
σοὶ δὲ δὴ τίς, ὦ Ἱππόθαλες; τοῦτό μοι εἰπέ.
to-you and indeed who O Hippothales this to-me say

καὶ ὃς ἐρωτηθεὶς ἠρυθρίασεν. καὶ ἐγὼ εἶπον· ὦ παῖ c
and he having-been-asked blushed and I said O son
Ἱερωνύμου Ἱππόθαλες, τοῦτο μὲν μηκέτι εἴπῃς, εἴτε ἐρᾷς
of-Hieronymus Hippothales this indeed no-longer say whether you-love
του εἴτε μή· οἶδα γὰρ ὅτι οὐ μόνον ἐρᾷς, ἀλλὰ καὶ πόρρω
someone or not I-know for that not only you-love but also far
ἤδη εἶ πορευόμενος τοῦ ἔρωτος. εἰμὶ δ' ἐγὼ τὰ μὲν
already you-are going in-the love am and I the indeed
ἄλλα φαῦλος καὶ ἄχρηστος, τοῦτο δέ μοί πως ἐκ θεοῦ
other-things poor and useless this but to-me somehow from god
δέδοται, ταχὺ οἵῳ τ' εἶναι γνῶναι ἐρῶντά τε καὶ ἐρώμενον.
has-been-given quickly able — to-be to-recognize a-lover both and beloved
καὶ ὃς ἀκούσας πολὺ ἔτι μᾶλλον ἠρυθρίασεν. ὁ οὖν d
and he having-heard much still more blushed — then
Κτήσιππος, Ἀστεῖόν γε, ἦ δ' ὅς, ὅτι ἐρυθριᾷς, ὦ
Ctesippus Charming at-least said — he that you-blush O
Ἱππόθαλες, καὶ ὀκνεῖς εἰπεῖν Σωκράτει τοὔνομα· ἐὰν δ'
Hippothales and shrink to-say to-Socrates the-name if but
οὗτος καὶ σμικρὸν χρόνον συνδιατρίψῃ σοι, παραταθήσεται
this-one even small time spends-time-with you he-will-be-worn-out
ὑπὸ σοῦ ἀκούων θαμὰ λέγοντος. ἡμῶν γοῦν, ὦ Σώκρατες,
by you hearing often saying of-us at-any-rate O Socrates
ἐκκεκώφωκε τὰ ὦτα καὶ ἐμπέπληκε Λύσιδος· ἂν μὲν
he-has-deafened the ears and has-filled(-them) with-Lysis if indeed
δὴ καὶ ὑποπίῃ, εὐμαρία ἡμῖν ἐστιν καὶ ἐξ ὕπνου
indeed also he-drinks-a-little ease for-us it-is also from sleep
ἐγρομένοις Λύσιδος οἴεσθαι τοὔνομα ἀκούειν. καὶ ἃ
waking Lysis to-think the-name to-hear and what-things
μὲν καταλογάδην διηγεῖται, δεινὰ ὄντα, οὐ πάνυ τι δεινά
indeed in-prose he-narrates terrible being not very at-all terrible
ἐστιν, ἀλλ' ἐπειδὰν τὰ ποιήματα ἡμῶν ἐπιχειρήσῃ καταντλεῖν
are but when the poems on-us he-attempts to-pour-out

καὶ συγγράμματα. καὶ ὅ ἐστιν τούτων δεινότερον, ὅτι καὶ
and writings and what is than-these more-terrible that also
ᾄδει εἰς τὰ παιδικὰ φωνῇ θαυμασίᾳ, ἣν ἡμᾶς δεῖ
he-sings to the beloved in-a-voice wonderful which us it-is-needful
ἀκούοντας ἀνέχεσθαι. νῦν δὲ ἐρωτώμενος ὑπὸ σοῦ ἐρυθριᾷ.
hearing to-endure now but being-asked by you he-blushes
e ἔστιν δέ, ἣν δ' ἐγώ, ὁ Λύσις νέος τις, ὡς ἔοικε·
he-is but said — I — Lysis young some as it-seems
τεκμαίρομαι δέ, ὅτι ἀκούσας τοὔνομα οὐκ ἔγνων.
I-judge and because having-heard the-name not I-recognized
οὐ γὰρ πάνυ, ἔφη, τὶ αὐτοῦ τοὔνομα λέγουσιν, ἀλλ'
not for much he-said at-all his the-name they-say but
ἔτι πατρόθεν ἐπονομάζεται διὰ τὸ σφόδρα τὸν πατέρα
still from-his-father he-is-named because-of the greatly the father
γιγνώσκεσθαι αὐτοῦ. ἐπεὶ εὖ οἶδ' ὅτι πολλοῦ δεῖς τὸ
to-be-known of-him since well I-know that much you-lack the
εἶδος ἀγνοεῖν τοῦ παιδός· ἱκανὸς γὰρ καὶ ἀπὸ μόνου
form to-be-ignorant-of of-the boy enough for also from alone
τούτου γιγνώσκεσθαι.
this to-be-known
λεγέσθω, ἣν δ' ἐγώ, οὗτινος ἔστιν.
let-it-be-said said — I whose he-is
Δημοκράτους, ἔφη, τοῦ Αἰξωνέως ὁ πρεσβύτατος ὑός.
of-Democrates he-said the Aexonian the eldest son
205 εἶεν, ἣν δ' ἐγώ, ὦ Ἱππόθαλες, ὡς γενναῖον καὶ νεανικὸν
well said — I O Hippothales how noble and youthful
τοῦτον τὸν ἔρωτα πανταχῇ ἀνηῦρες· καί μοι ἴθι
this the love in-every-way you-have-found and to-me come
ἐπίδειξαι ἃ καὶ τοῖσδε ἐπιδείκνυσαι, ἵνα εἰδῶ εἰ
display what also to-these you-display so-that I-may-know if

ἐπίστασαι ἃ χρὴ ἐραστὴν περὶ παιδικῶν πρὸς αὐτὸν
you-know what it-is-needful a-lover about beloved to him
ἢ πρὸς ἄλλους λέγειν.
or to others to-say
τούτων δέ τι, ἔφη, σταθμᾷ, ὦ Σώκρατες, ὧν ὅδε
of-these and anything he-said do-you-weigh O Socrates which this-one
λέγει;
says
πότερον, ἦν δ' ἐγώ, καὶ τὸ ἐρᾶν ἔξαρνος εἶ οὗ λέγει
whether said — I also the to-love deny you-are which says
ὅδε;
this-one
οὐκ ἔγωγε, ἔφη, ἀλλὰ μὴ ποιεῖν εἰς τὰ παιδικὰ μηδὲ
not I-at-least he-said but not to-make to the beloved nor
συγγράφειν.
to-write
οὐχ ὑγιαίνει, ἔφη ὁ Κτήσιππος, ἀλλὰ ληρεῖ τε καὶ
not is-sane said — Ctesippus but talks-nonsense both and
μαίνεται.
is-mad
καὶ ἐγὼ εἶπον· ὦ Ἱππόθαλες, οὔ τι τῶν μέτρων δέομαι b
and I said O Hippothales not at-all of-the meters I-need
ἀκοῦσαι οὐδὲ μέλος εἴ τι πεποίηκας εἰς τὸν νεανίσκον,
to-hear nor song if any you-have-made to the young-man
ἀλλὰ τῆς διανοίας, ἵνα εἰδῶ τίνα τρόπον προσφέρῃ
but of-the thought so-that I-may-know in-what way you-bear-yourself
πρὸς τὰ παιδικά.
toward the beloved

ὅδε δήπου σοι, ἔφη, ἐρεῖ· ἀκριβῶς γὰρ ἐπίσταται
this-one surely to-you he-said will-tell exactly for he-knows
καὶ μέμνηται, εἴπερ, ὡς λέγει, ὑπ᾽ ἐμοῦ ἀεὶ ἀκούων
and remembers if-indeed as he-says by me always hearing
διατεθρύληται.
he-has-been-dinned
c νὴ τοὺς θεούς, ἔφη ὁ Κτήσιππος, πάνυ γε. καὶ γάρ
by the gods said — Ctesippus very at-least and for
ἐστι καταγέλαστα, ὦ Σώκρατες. τὸ γὰρ ἐραστὴν ὄντα
they-are laughable O Socrates the for a-lover being
καὶ διαφερόντως τῶν ἄλλων τὸν νοῦν προσέχοντα τῷ
and exceptionally than-the others the mind applying to-the
παιδὶ ἴδιον μὲν μηδὲν ἔχειν λέγειν ὃ οὐχὶ κἂν παῖς
boy private indeed nothing to-have to-say which not even-a child
εἴποι, πῶς οὐχὶ καταγέλαστον; ἃ δὲ ἡ πόλις ὅλη ᾄδει
could-say how not laughable what but the city whole sings
περὶ Δημοκράτους καὶ Λύσιδος τοῦ πάππου τοῦ παιδὸς καὶ
about Democrates and Lysis the grandfather of-the boy and
πάντων πέρι τῶν προγόνων, πλούτους τε καὶ ἱπποτροφίας
all about the ancestors wealth both and horse-breeding
καὶ νίκας Πυθοῖ καὶ Ἰσθμοῖ καὶ Νεμέᾳ τεθρίπποις
and victories at-Pytho and at-the-Isthmus and at-Nemea with-four-horse-chariots
τε καὶ κέλησι, ταῦτα ποιεῖ τε καὶ λέγει, πρὸς δὲ
both and with-race-horses these-things he-makes both and says besides and
τούτοις ἔτι τούτων κρονικώτερα. τὸν γὰρ τοῦ Ἡρακλέους
these further than-these more-old-fashioned the for — of-Heracles
ξενισμὸν πρῴην ἡμῖν ἐν ποιήματί τινι διῄει, ὡς
entertaining the-day-before-yesterday to-us in poem some he-went-through how
διὰ τὴν τοῦ Ἡρακλέους συγγένειαν ὁ πρόγονος αὐτῶν
because-of the — of-Heracles kinship the ancestor of-them
ὑποδέξαιτο τὸν Ἡρακλέα, γεγονὼς αὐτὸς ἐκ Διός τε
received — Heracles having-been-born himself from Zeus both

καὶ τῆς τοῦ δήμου ἀρχηγέτου θυγατρός, ἅπερ αἱ γραῖαι
and the of-the deme founder daughter which-very the old-women
ᾄδουσι, καὶ ἄλλα πολλὰ τοιαῦτα, ὦ Σώκρατες· ταῦτ' ἐστὶν
sing and other many such-things O Socrates these-things are
ἃ οὗτος λέγων τε καὶ ᾄδων ἀναγκάζει καὶ ἡμᾶς ἀκροᾶσθαι.
what this-one saying both and singing compels also us to-listen-to
καὶ ἐγὼ ἀκούσας εἶπον· ὦ καταγέλαστε Ἱππόθαλες, πρὶν
and I having-heard said O laughable Hippothales before
νενικηκέναι ποιεῖς τε καὶ ᾄδεις εἰς σαυτὸν ἐγκώμιον;
to-have-won you-make both and sing to yourself encomium
ἀλλ' οὐκ εἰς ἐμαυτόν, ἔφη, ὦ Σώκρατες, οὔτε ποιῶ οὔτε
but not to myself he-said O Socrates neither I-make nor
ᾄδω.
sing
οὐκ οἴει γε, ἦν δ' ἐγώ.
not you-think at-least said — I
τὸ δὲ πῶς ἔχει; ἔφη.
the and how is-it he-said
πάντων μάλιστα, εἶπον, εἰς σὲ τείνουσιν αὗται αἱ ᾠδαί. e
of-all most I-said to you tend these the songs

II · LYSIS APPROACHES

Socrates explains: if Hippothales wins the boy, the praise adorns his victory; if not, it makes him ridiculous; and praise makes the beautiful proud and harder to catch, like a hunter scaring his game. Asked how to speak to a beloved, Socrates offers to show him if Lysis comes. They enter during the Hermaea; Lysis follows his friend Menexenus over, while Hippothales hides to listen. Socrates asks the friends which is older, nobler, and more beautiful, but not which is richer, since friends share all. Menexenus is called away, and Lysis owns that his loving parents stop him from doing many things.

206 ἐὰν μὲν γὰρ ἕλῃς τὰ παιδικὰ τοιαῦτα ὄντα, κόσμος
if indeed for you-catch the beloved such being ornament
σοι ἔσται τὰ λεχθέντα καὶ ᾀσθέντα καὶ τῷ ὄντι ἐγκώμια
to-you will-be the things-said and sung and in-the reality encomia
ὥσπερ νενικηκότι, ὅτι τοιούτων παιδικῶν ἔτυχες· ἐὰν δέ
as to-one-having-won that such beloved you-obtained if but
σε διαφύγῃ, ὅσῳ ἂν μείζω σοι εἰρημένα ᾖ ἐγκώμια
you escapes by-as-much-as — greater to-you said be encomia
περὶ τῶν παιδικῶν, τοσούτῳ μειζόνων δόξεις καλῶν τε
about the beloved by-so-much greater you-will-seem fine both
καὶ ἀγαθῶν ἐστερημένος καταγέλαστος εἶναι. ὅστις οὖν
and good-things deprived-of laughable to-be whoever then
τὰ ἐρωτικά, ὦ φίλε, σοφός, οὐκ ἐπαινεῖ τὸν ἐρώμενον
in-the love-matters O friend wise not praises the beloved
πρὶν ἂν ἕλῃ, δεδιὼς τὸ μέλλον ὅπῃ ἀποβήσεται. καὶ
before — he-catches fearing the future how it-will-turn-out and
ἅμα οἱ καλοί, ἐπειδάν τις αὐτοὺς ἐπαινῇ καὶ αὔξῃ,
at-once the beautiful whenever anyone them praises and exalts
φρονήματος ἐμπίμπλανται καὶ μεγαλαυχίας· ἢ οὐκ οἴει;
with-pride are-filled and with-boastfulness or not you-think
ἔγωγε, ἔφη.
I-at-least he-said
οὐκοῦν ὅσῳ ἂν μεγαλαυχότεροι ὦσιν, δυσαλωτότεροι
therefore by-as-much-as — more-boastful they-are harder-to-catch
γίγνονται;
they-become
εἰκός γε.
likely at-least
ποῖός τις οὖν ἄν σοι δοκεῖ θηρευτὴς εἶναι, εἰ ἀνασοβοῖ
what-sort some then — to-you seems hunter to-be if he-should-scare-off
θηρεύων καὶ δυσαλωτοτέραν τὴν ἄγραν ποιοῖ;
hunting and harder-to-catch the quarry should-make

δῆλον ὅτι φαῦλος. b
clear that poor
καὶ μὲν δὴ λόγοις τε καὶ ᾠδαῖς μὴ κηλεῖν ἀλλ᾽
and indeed indeed with-speeches both and with-songs not to-charm but
ἐξαγριαίνειν πολλὴ ἀμουσία· ἦ γάρ;
to-make-wild much unmusicalness is-it-not for
δοκεῖ μοι.
it-seems to-me
σκόπει δή, ὦ Ἱππόθαλες, ὅπως μὴ πᾶσι τούτοις ἔνοχον
consider indeed O Hippothales that not to-all these-things liable
σαυτὸν ποιήσεις διὰ τὴν ποίησιν· καίτοι οἶμαι ἐγὼ ἄνδρα
yourself you-will-make because-of the poetry and-yet I-think I a-man
ποιήσει βλάπτοντα ἑαυτὸν οὐκ ἄν σε ἐθέλειν ὁμολογῆσαι
by-poetry harming himself not — you to-be-willing to-agree
ὡς ἀγαθός ποτ᾽ ἐστὶν ποιητής, βλαβερὸς ὢν ἑαυτῷ.
that good ever is poet harmful being to-himself
οὐ μὰ τὸν Δία, ἔφη· πολλὴ γὰρ ἂν ἀλογία εἴη. ἀλλὰ c
not by — Zeus he-said much for — absurdity it-would-be but
διὰ ταῦτα δή σοι, ὦ Σώκρατες, ἀνακοινοῦμαι, καὶ
because-of these-things indeed to-you O Socrates I-consult and
εἴ τι ἄλλο ἔχεις, συμβούλευε τίνα ἄν τις λόγον
if anything other you-have advise what — anyone speech
διαλεγόμενος ἢ τί πράττων προσφιλὴς παιδικοῖς γένοιτο.
conversing or what doing dear to-beloved might-become
οὐ ῥᾴδιον, ἦν δ᾽ ἐγώ, εἰπεῖν· ἀλλ᾽ εἴ μοι ἐθελήσαις
not easy said — I to-say but if to-me you-should-be-willing
αὐτὸν ποιῆσαι εἰς λόγους ἐλθεῖν, ἴσως ἂν δυναίμην σοι
him to-make into speeches to-come perhaps — I-could to-you
ἐπιδεῖξαι ἃ χρὴ αὐτῷ διαλέγεσθαι ἀντὶ τούτων
to-show what it-is-needful with-him to-converse instead-of these-things
ὧν οὗτοι λέγειν τε καὶ ᾄδειν φασί σε.
which these to-say both and to-sing say you

d ἀλλ᾽ οὐδέν, ἔφη, χαλεπόν. ἂν γὰρ εἰσέλθῃς μετὰ Κτησίππου
but nothing he-said hard if for you-go-in with Ctesippus
τοῦδε καὶ καθεζόμενος διαλέγῃ, οἶμαι μὲν καὶ αὐτός σοι
here and sitting-down converse I-think indeed also himself to-you
πρόσεισι — φιλήκοος γάρ, ὦ Σώκρατες, διαφερόντως
will-come fond-of-listening for O Socrates exceptionally
ἐστίν, καὶ ἅμα, ὡς Ἑρμαῖα ἄγουσιν, ἀναμεμειγμένοι ἐν
he-is and at-once since the-Hermaea they-keep mixed in
ταὐτῷ εἰσιν οἵ τε νεανίσκοι καὶ οἱ παῖδες — πρόσεισιν
the-same are the both young-men and the boys he-will-come
οὖν σοι. εἰ δὲ μή, Κτησίππῳ συνήθης ἐστὶν διὰ
then to-you if but not with-Ctesippus intimate he-is because-of
τὸν τούτου ἀνεψιὸν Μενέξενον· Μενεξένῳ μὲν γὰρ δὴ
the of-this-one cousin Menexenus with-Menexenus indeed for indeed
πάντων μάλιστα ἑταῖρος ὢν τυγχάνει. καλεσάτω οὖν
of-all most comrade being he-happens let-call then
οὗτος αὐτόν, ἐὰν ἄρα μὴ προσίῃ αὐτός.
this-one him if after-all not he-comes himself

e ταῦτα, ἦν δ᾽ ἐγώ, χρὴ ποιεῖν. καὶ ἅμα λαβὼν τὸν
these-things said — I it-is-needful to-do and at-once having-taken —
Κτήσιππον προσῆα εἰς τὴν παλαίστραν· οἱ δ᾽ ἄλλοι
Ctesippus I-went-toward into the wrestling-school the and others
ὕστεροι ἡμῶν ἦσαν.
after us went
εἰσελθόντες δὲ κατελάβομεν αὐτόθι τεθυκότας τε τοὺς
having-gone-in and we-found there having-sacrificed both the
παῖδας καὶ τὰ περὶ τὰ ἱερεῖα σχεδόν τι ἤδη πεποιημένα,
boys and the about the victims nearly somewhat already done
ἀστραγαλίζοντάς τε δὴ καὶ κεκοσμημένους ἅπαντας. οἱ
playing-knucklebones both indeed and adorned all the-ones
μὲν οὖν πολλοὶ ἐν τῇ αὐλῇ ἔπαιζον ἔξω, οἱ δέ τινες
indeed then many in the court were-playing outside the-others and some

τοῦ ἀποδυτηρίου ἐν γωνίᾳ ἠρτίαζον ἀστραγάλοις
of-the dressing-room in a-corner were-playing-odd-and-even with-knucklebones
παμπόλλοις, ἐκ φορμίσκων τινῶν προαιρούμενοι· τούτους
very-many from baskets some choosing these
δὲ περιέστασαν ἄλλοι θεωροῦντες.
and stood-around others watching
ὧν δὴ καὶ ὁ Λύσις ἦν, καὶ εἱστήκει ἐν τοῖς παισί τε 207
of-whom indeed also — Lysis was and was-standing among the boys both
καὶ νεανίσκοις ἐστεφανωμένος καὶ τὴν ὄψιν διαφέρων,
and young-men crowned and in-the appearance excelling
οὐ τὸ καλὸς εἶναι μόνον ἄξιος ἀκοῦσαι, ἀλλ᾽ ὅτι καλός
not the beautiful to-be only worthy to-hear but that beautiful
τε κἀγαθός. καὶ ἡμεῖς εἰς τὸ καταντικρὺ ἀποχωρήσαντες
both and-good and we to the opposite having-withdrawn
ἐκαθεζόμεθα — ἦν γὰρ αὐτόθι ἡσυχία — καί τι
sat-down there-was for there quiet and something
ἀλλήλοις διελεγόμεθα. περιστρεφόμενος οὖν ὁ Λύσις θαμὰ
to-one-another we-conversed turning-round then — Lysis often
ἐπεσκοπεῖτο ἡμᾶς, καὶ δῆλος ἦν ἐπιθυμῶν προσελθεῖν.
looked-at us and clear was desiring to-approach
τέως μὲν οὖν ἠπόρει τε καὶ ὤκνει μόνος προσιέναι,
for-a-while indeed then he-was-at-a-loss both and shrank alone to-approach
ἔπειτα ὁ Μενέξενος ἐκ τῆς αὐλῆς μεταξὺ παίζων
then — Menexenus from the court in-the-midst playing
εἰσέρχεται, καὶ ὡς εἶδεν ἐμέ τε καὶ τὸν Κτήσιππον, ἦει
comes-in and when he-saw me both and — Ctesippus went
παρακαθιζησόμενος· ἰδὼν οὖν αὐτὸν ὁ Λύσις εἵπετο
going-to-sit-beside having-seen then him — Lysis followed
καὶ συμπαρεκαθέζετο μετὰ τοῦ Μενεξένου. προσῆλθον δὴ
and sat-down-beside with — Menexenus came-up indeed
καὶ οἱ ἄλλοι, καὶ δὴ καὶ ὁ Ἱπποθάλης, ἐπειδὴ πλείους
also the others and indeed also — Hippothales when more

ἑώρα ἐφισταμένους, τούτους ἐπηλυγισάμενος προσέστη
he-saw standing-by these having-screened-himself stood-near
ᾗ μὴ ὄψετο κατόψεσθαι τὸν Λύσιν, δεδιὼς μὴ αὐτῷ
where not he-thought would-see — Lysis fearing lest to-him
ἀπεχθάνοιτο· καὶ οὕτω προσεστὼς ἠκροᾶτο.
he-should-be-hateful and so standing-near listened
c καὶ ἐγὼ πρὸς τὸν Μενέξενον ἀποβλέψας, ὦ παῖ
and I toward — Menexenus having-looked O son
Δημοφῶντος, ἦν δ' ἐγώ, πότερος ὑμῶν πρεσβύτερος;
of-Demophon said — I which of-you older
ἀμφισβητοῦμεν, ἔφη.
we-dispute he-said
οὐκοῦν καὶ ὁπότερος γενναιότερος, ἐρίζοιτ' ἄν, ἦν δ'
therefore also which nobler you-would-quarrel — said —
ἐγώ.
I
πάνυ γε, ἔφη.
certainly at-least he-said
καὶ μὴν ὁπότερός γε καλλίων, ὡσαύτως.
and indeed which at-least more-beautiful likewise
ἐγελασάτην οὖν ἄμφω.
laughed then both
οὐ μὴν ὁπότερός γε, ἔφην, πλουσιώτερος ὑμῶν, οὐκ
not indeed which at-least I-said richer of-you not
ἐρήσομαι· φίλω γάρ ἐστον. ἦ γάρ;
I-will-ask friends for you-two-are is-it-not for
πάνυ γ', ἐφάτην.
certainly at-least the-two-said
οὐκοῦν κοινὰ τά γε φίλων λέγεται, ὥστε τούτῳ γε
therefore common the at-least of-friends are-said so-that in-this at-least
οὐδὲν διοίσετον, εἴπερ ἀληθῆ περὶ τῆς φιλίας λέγετον.
nothing you-two-will-differ if-indeed true-things about the friendship you-two-say

συνεφάτην.
the-two-agreed

ἐπεχείρουν δὴ μετὰ τοῦτο ἐρωτᾶν ὁπότερος δικαιότερος d
I-was-attempting indeed after this to-ask which more-just
καὶ σοφώτερος αὐτῶν εἴη. μεταξὺ οὖν τις προσελθὼν
and wiser of-them might-be in-between then someone having-come-up
ἀνέστησε τὸν Μενέξενον, φάσκων καλεῖν τὸν παιδοτρίβην·
made-stand-up — Menexenus saying to-call the gymnastic-trainer
ἐδόκει γάρ μοι ἱεροποιῶν τυγχάνειν. ἐκεῖνος μὲν οὖν ᾤχετο·
it-seemed for to-me sacrificing to-happen that-one indeed then went-off
ἐγὼ δὲ τὸν Λύσιν ἠρόμην, ἦ που, ἦν δ' ἐγώ, ὦ Λύσι,
I and — Lysis asked truly surely said — I O Lysis
σφόδρα φιλεῖ σε ὁ πατὴρ καὶ ἡ μήτηρ; — πάνυ γε,
greatly loves you the father and the mother certainly at-least
ἦ δ' ὅς. — οὐκοῦν βούλοιντο ἄν σε ὡς εὐδαιμονέστατον
said — he therefore would-wish — you as happiest
εἶναι; — πῶς γὰρ οὔ; — δοκεῖ δέ σοι εὐδαίμων εἶναι
to-be how for not seems and to-you happy to-be
ἄνθρωπος δουλεύων τε καὶ ᾧ μηδὲν ἐξείη ποιεῖν
a-human being-a-slave both and to-whom nothing might-be-allowed to-do
ὧν ἐπιθυμοῖ; — μὰ Δί' οὐκ ἔμοιγε, ἔφη. — οὐκοῦν εἴ σε
of-what he-desires by Zeus not to-me-at-least he-said therefore if you
φιλεῖ ὁ πατὴρ καὶ ἡ μήτηρ καὶ εὐδαίμονά σε ἐπιθυμοῦσι
loves the father and the mother and happy you desire
γενέσθαι, τοῦτο παντὶ τρόπῳ δῆλον ὅτι προθυμοῦνται
to-become this in-every way clear that they-are-eager
ὅπως ἂν εὐδαιμονοίης. — πῶς γὰρ οὐχί; ἔφη. — ἐῶσιν
that — you-may-be-happy how for not he-said they-let
ἄρα σε ἃ βούλει ποιεῖν, καὶ οὐδὲν ἐπιπλήττουσιν οὐδὲ
then you what you-wish to-do and nothing rebuke nor

διακωλύουσι ποιεῖν ὧν ἂν ἐπιθυμῇς; — ναὶ μὰ Δία ἐμέ
prevent to-do what — you-desire yes by Zeus me
γε, ὦ Σώκρατες, καὶ μάλα γε πολλὰ κωλύουσιν.
at-least O Socrates and very at-least many-things they-prevent

III · FREEDOM AND KNOWLEDGE

The parents of Lysis, though they want him happy, do not let him do as he likes: a hired charioteer drives his father's horses, a slave tutor rules him, and his mother forbids him her loom. His age is not the reason: they let him read, write, and tune his lyre as he wishes, because he knows how. So his father will hand over his affairs when he thinks Lysis wiser than he, and so will the neighbor, the Athenians, and the Great King, who would let a stranger skilled in cooking, not his own son, season his broth.

208 πῶς λέγεις; ἦν δ' ἐγώ. βουλόμενοί σε μακάριον εἶναι
how do-you-mean said — I wishing you blessed to-be
διακωλύουσι τοῦτο ποιεῖν ὃ ἂν βούλῃ; ὧδε δέ μοι λέγε.
they-prevent this to-do whatever — you-wish thus and to-me tell
ἢν ἐπιθυμήσῃς ἐπί τινος τῶν τοῦ πατρὸς ἁρμάτων ὀχεῖσθαι
if you-desire on some of-the of-the father chariots to-ride
λαβὼν τὰς ἡνίας, ὅταν ἁμιλλᾶται, οὐκ ἂν ἐῷέν
having-taken the reins when he-competes not — would-they-let
σε ἀλλὰ διακωλύοιεν; — μὰ Δί' οὐ μέντοι ἄν, ἔφη,
you but would-prevent by Zeus not indeed — he-said
ἐῷεν. — ἀλλὰ τίνα μήν; — ἔστιν τις ἡνίοχος παρὰ τοῦ
they-would-let but whom then there-is a-certain charioteer from the
πατρὸς μισθὸν φέρων. — πῶς λέγεις; μισθωτῷ μᾶλλον
father wage earning how do-you-mean to-a-hireling rather
ἐπιτρέπουσιν ἢ σοὶ ποιεῖν ὅτι ἂν βούληται περὶ τοὺς
do-they-entrust than to-you to-do whatever — he-wishes about the

ἵππους, καὶ προσέτι αὐτοῦ τούτου ἀργύριον τελοῦσιν; —
horses and besides for-this very silver they-pay
ἀλλὰ τί μήν; ἔφη. — ἀλλὰ τοῦ ὀρικοῦ ζεύγους οἶμαι
but what indeed he-said but the mule team I-think
ἐπιτρέπουσίν σοι ἄρχειν, κἂν εἰ βούλοιο λαβὼν τὴν
they-entrust to-you to-rule even if you-should-wish having-taken the
μάστιγα τύπτειν, ἐᾧεν ἄν. — πόθεν, ἦ δ' ὅς, ἐᾧεν; —
whip to-strike would-they-let — whence said — he would-they-let
τί δέ; ἦν δ' ἐγώ· οὐδενὶ ἔξεστιν αὐτοὺς τύπτειν; — καὶ
what and said — I to-no-one is-it-allowed them to-strike and
μάλα, ἔφη, τῷ ὀρεοκόμῳ. — δούλῳ ὄντι ἢ ἐλευθέρῳ;
very he-said to-the muleteer slave being or free
— δούλῳ, ἔφη. — καὶ δοῦλον, ὡς ἔοικεν, ἡγοῦνται περὶ c
slave he-said and a-slave as it-seems they-consider of
πλείονος ἢ σὲ τὸν υἱόν, καὶ ἐπιτρέπουσι τὰ ἑαυτῶν μᾶλλον
more-account than you the son and they-entrust the their-own rather
ἢ σοί, καὶ ἐῶσιν ποιεῖν ὅτι βούλεται, σὲ δὲ διακωλύουσι;
than to-you and let to-do whatever he-wishes you but they-prevent
καί μοι ἔτι τόδε εἰπέ. σὲ αὐτὸν ἐῶσιν ἄρχειν σεαυτοῦ,
and to-me further this say you yourself do-they-let to-rule yourself
ἢ οὐδὲ τοῦτο ἐπιτρέπουσί σοι; — πῶς γάρ, ἔφη,
or not-even this do-they-entrust to-you how for he-said
ἐπιτρέπουσιν; — ἀλλ' ἄρχει τίς σου; — ὅδε, παιδαγωγός,
do-they-entrust but rules who you this-one tutor
ἔφη. — μῶν δοῦλος ὤν; — ἀλλὰ τί μήν; ἡμέτερός γε,
he-said surely-not a-slave being but what indeed ours at-least
ἔφη. — ἦ δεινόν, ἦν δ' ἐγώ, ἐλεύθερον ὄντα ὑπὸ δούλου
he-said truly terrible said — I free being by a-slave
ἄρχεσθαι. τί δὲ ποιῶν αὖ οὗτος ὁ παιδαγωγός σου
to-be-ruled what and doing again this the tutor you
ἄρχει; — ἄγων δήπου, ἔφη, εἰς διδασκάλου. — μῶν μὴ καὶ
rules leading surely he-said to teacher's surely not also

οὗτοί σου ἄρχουσιν, οἱ διδάσκαλοι; — πάντως δήπου. —
these you rule the teachers in-every-way surely
παμπόλλους ἄρα σοι δεσπότας καὶ ἄρχοντας ἑκὼν ὁ
very-many then to-you masters and rulers willingly the
πατὴρ ἐφίστησιν. ἀλλ' ἆρα ἐπειδὰν οἴκαδε ἔλθῃς παρὰ τὴν
father sets-over but then when home you-come to the
μητέρα, ἐκείνη σε ἐᾷ ποιεῖν ὅτι ἂν βούλῃ, ἵν' αὐτῇ
mother that-one you lets to-do whatever — you-wish so-that to-her
μακάριος ᾖς, ἢ περὶ τὰ ἔρια ἢ περὶ τὸν ἱστόν, ὅταν
blessed you-may-be either about the wools or about the loom when
ὑφαίνῃ; οὔ τι γάρ που διακωλύει σε ἢ τῆς σπάθης ἢ
she-weaves not at-all for surely prevents you either the batten or
τῆς κερκίδος ἢ ἄλλου του τῶν περὶ ταλασιουργίαν ὀργάνων
the shuttle or other any of-the about wool-working instruments
ἅπτεσθαι. — καὶ ὃς γελάσας, μὰ Δία, ἔφη, ὦ Σώκρατες,
to-touch and he having-laughed by Zeus he-said O Socrates
οὐ μόνον γε διακωλύει, ἀλλὰ καὶ τυπτοίμην ἂν εἰ
not only at-least she-prevents but also I-would-be-beaten — if
ἁπτοίμην. — Ἡράκλεις, ἦν δ' ἐγώ, μῶν μή τι ἠδίκηκας
I-should-touch Heracles said — I surely not anything have-you-wronged
τὸν πατέρα ἢ τὴν μητέρα; — μὰ Δί' οὐκ ἔγωγε, ἔφη.
the father or the mother by Zeus not I-at-least he-said
209 ἀλλ' ἀντὶ τίνος μὴν οὕτω σε δεινῶς διακωλύουσιν
but instead-of what then so you terribly do-they-prevent
εὐδαίμονα εἶναι καὶ ποιεῖν ὅτι ἂν βούλῃ, καὶ δι'
happy to-be and to-do whatever — you-wish and through
ἡμέρας ὅλης τρέφουσί σε ἀεί τῳ δουλεύοντα καὶ ἑνὶ
day whole they-bring-up you always to-someone being-a-slave and in-one
λόγῳ ὀλίγου ὧν ἐπιθυμεῖς οὐδὲν ποιοῦντα; ὥστε σοι,
word almost of-what you-desire nothing doing so-that to-you
ὡς ἔοικεν, οὔτε τῶν χρημάτων τοσούτων ὄντων οὐδὲν
as it-seems neither of-the property so-great being any

ὄφελος, ἀλλὰ πάντες αὐτῶν μᾶλλον ἄρχουσιν ἢ σύ, οὔτε
use but all of-it rather rule than you nor
τοῦ σώματος οὕτω γενναίου ὄντος, ἀλλὰ καὶ τοῦτο ἄλλος
of-the body so noble being but also this another
ποιμαίνει καὶ θεραπεύει· σὺ δὲ ἄρχεις οὐδενός, ὦ Λύσι,
tends and serves you and rule nothing O Lysis
οὐδὲ ποιεῖς οὐδὲν ὧν ἐπιθυμεῖς. — οὐ γάρ πω, ἔφη,
nor do nothing of-what you-desire not for yet he-said
ἡλικίαν ἔχω, ὦ Σώκρατες. — μὴ οὐ τοῦτό σε, ὦ παῖ
age I-have O Socrates lest not this you O son
Δημοκράτους, κωλύῃ, ἐπεὶ τό γε τοσόνδε, ὡς ἐγῷμαι,
of-Democrates hinders since the at-least so-much as I-think
καὶ ὁ πατὴρ καὶ ἡ μήτηρ σοι ἐπιτρέπουσιν καὶ οὐκ
both the father and the mother to-you entrust and not
ἀναμένουσιν ἕως ἂν ἡλικίαν ἔχῃς. ὅταν γὰρ βούλωνται
wait until — age you-have when for they-wish
αὐτοῖς τινα ἀναγνωσθῆναι ἢ γραφῆναι, σέ, ὡς ἐγῷμαι,
to-themselves something to-be-read or to-be-written you as I-think
πρῶτον τῶν ἐν τῇ οἰκίᾳ ἐπὶ τοῦτο τάττουσιν.
first of-those in the house to this they-set
ἦ γάρ; — πάνυ γ', ἔφη. — οὐκοῦν ἔξεστί σοι c
is-it-not for certainly at-least he-said therefore it-is-allowed for-you
ἐνταῦθ' ὅτι ἂν βούλῃ πρῶτον τῶν γραμμάτων γράφειν
there whatever — you-wish first of-the letters to-write
καὶ ὅτι ἂν δεύτερον· καὶ ἀναγιγνώσκειν ὡσαύτως
and whatever — second and to-read likewise
ἔξεστιν. καὶ ἐπειδάν, ὡς ἐγῷμαι, τὴν λύραν λάβῃς, οὐ
it-is-allowed and when as I-think the lyre you-take not
διακωλύουσί σε οὔτε ὁ πατὴρ οὔτε ἡ μήτηρ ἐπιτεῖναί τε
prevent you neither the father nor the mother to-tighten both
καὶ ἀνεῖναι ἣν ἂν βούλῃ τῶν χορδῶν, καὶ ψῆλαι καὶ
and to-loosen whichever — you-wish of-the strings and to-pluck and

κρούειν τῷ πλήκτρῳ. ἢ διακωλύουσιν; — οὐ δῆτα. —
to-strike with-the plectrum or do-they-prevent not indeed
τί ποτ' ἂν οὖν εἴη, ὦ Λύσι, τὸ αἴτιον ὅτι ἐνταῦθα μὲν
what ever — then would-be O Lysis the cause that here indeed
οὐ διακωλύουσιν, ἐν οἷς δὲ ἄρτι ἐλέγομεν κωλύουσι; —
not they-prevent in which but just-now we-were-saying they-hinder
ὅτι οἶμαι, ἔφη, ταῦτα μὲν ἐπίσταμαι, ἐκεῖνα δ' οὔ. —
because I-think he-said these-things indeed I-know those but not
εἶεν, ἦν δ' ἐγώ, ὦ ἄριστε· οὐκ ἄρα τὴν ἡλικίαν σου
well said — I O best not then the age of-you
περιμένει ὁ πατὴρ ἐπιτρέπειν πάντα, ἀλλ' ᾗ ἂν ἡμέρᾳ
waits-for the father to-entrust all-things but on-which — day
ἡγήσηταί σε βέλτιον αὑτοῦ φρονεῖν, ταύτῃ ἐπιτρέψει
he-thinks you better than-himself to-think on-that he-will-entrust
σοι καὶ αὑτὸν καὶ τὰ αὑτοῦ. — οἶμαι ἔγωγε, ἔφη.
to-you both himself and the his-own I-think I-at-least he-said
d — εἶεν, ἦν δ' ἐγώ· τί δέ; τῷ γείτονι ἆρ' οὐχ ὁ αὐτὸς
well said — I what and for-the neighbor then not the same
ὅρος ὅσπερ τῷ πατρὶ περὶ σοῦ; πότερον οἴει αὐτὸν
limit which-very for-the father about you whether do-you-think him
ἐπιτρέψειν σοι τὴν αὑτοῦ οἰκίαν οἰκονομεῖν, ὅταν σε
to-entrust to-you the his-own house to-manage when you
ἡγήσηται βέλτιον περὶ οἰκονομίας ἑαυτοῦ φρονεῖν, ἢ αὐτὸν
he-thinks better about management than-himself to-think or himself
ἐπιστατήσειν; — ἐμοὶ ἐπιτρέψειν οἶμαι. — τί δ'; Ἀθηναίους
to-preside to-me to-entrust I-think what and Athenians
οἴει σοι οὐκ ἐπιτρέψειν τὰ αὑτῶν, ὅταν αἰσθάνωνται
do-you-think to-you not to-entrust the their-own when they-perceive
ὅτι ἱκανῶς φρονεῖς; — ἔγωγε. — πρὸς Διός, ἦν δ' ἐγώ, τί
that sufficiently you-think I-at-least by Zeus said — I what
ἄρα ὁ μέγας βασιλεύς; πότερον τῷ πρεσβυτάτῳ υἱεῖ, οὗ ἡ
then the great king whether to-the eldest son whose the

τῆς Ἀσίας ἀρχὴ γίγνεται, μᾶλλον ἂν ἐπιτρέψειεν ἑψομένων
of-the Asia rule becomes rather — would-he-entrust being-boiled
κρεῶν ὅτι ἂν βούληται ἐμβαλεῖν εἰς τὸν ζωμόν, ἢ ἡμῖν, εἰ
meat whatever — he-wishes to-throw into the broth or to-us if
ἀφικόμενοι παρ' ἐκεῖνον ἐνδειξαίμεθα αὐτῷ ὅτι ἡμεῖς κάλλιον
having-come to that-one we-should-show him that we more-finely
φρονοῦμεν ἢ ὁ ὑὸς αὐτοῦ περὶ ὄψου σκευασίας; —
think than the son his about cooked-food preparation
ἡμῖν δῆλον ὅτι, ἔφη. — καὶ τὸν μέν γε οὐδ' ἂν
to-us clear that he-said and the-one indeed at-least not-even —
σμικρὸν ἐάσειεν ἐμβαλεῖν· ἡμᾶς δέ, κἂν εἰ βουλοίμεθα
little would-he-let to-throw us and even if we-should-wish
δραξάμενοι τῶν ἁλῶν, ἐῴη ἂν ἐμβαλεῖν. — πῶς γὰρ οὔ;
having-grasped of-the salt would-let — to-throw how for not

IV · USEFUL AND LOVED

In whatever we are wise, Greeks and barbarians will trust us, and we shall be free and useful; where we lack sense, no one will let us act, and no one, not even parents, will love us for what is useless. So Lysis, still needing a teacher, has no cause for pride. Socrates nearly tells Hippothales that this is how to talk to a beloved, but sees his agony. Menexenus returns; Lysis, told to repeat it himself, urges Socrates to refute that keen debater, and Socrates confesses he would rather have a friend than horses, dogs, or Darius' gold.

τί δ' εἰ τοὺς ὀφθαλμοὺς ὁ ὑὸς αὐτοῦ ἀσθενοῖ, ἆρα 210
what and if in-the eyes the son his should-be-weak then
ἐῴη ἂν αὐτὸν ἅπτεσθαι τῶν ἑαυτοῦ ὀφθαλμῶν, μὴ ἰατρὸν
would-he-let — him to-touch the his-own eyes not a-doctor
ἡγούμενος, ἢ κωλύοι ἄν; — κωλύοι ἄν. — ἡμᾶς
considering(-him) or would-he-prevent — he-would-prevent — us

δέ γε εἰ ὑπολαμβάνοι ἰατρικοὺς εἶναι, κἂν εἰ βουλοίμεθα
but at-least if he-should-suppose medical to-be even if we-should-wish
διανοίγοντες τοὺς ὀφθαλμοὺς ἐμπάσαι τῆς τέφρας, οἶμαι
opening-wide the eyes to-sprinkle-in of-the ashes I-think
οὐκ ἂν κωλύσειεν, ἡγούμενος ὀρθῶς φρονεῖν. — ἀληθῆ
not — he-would-prevent considering-us rightly to-think true-things
λέγεις. — ἆρ' οὖν καὶ τἆλλα πάντα ἡμῖν ἐπιτρέποι ἂν
you-say so then also the-other-things all to-us would-be-entrust —
μᾶλλον ἢ ἑαυτῷ καὶ τῷ υἱεῖ, περὶ ὅσων ἂν δόξωμεν
rather than to-himself and to-the son about as-many-things-as — we-seem
αὐτῷ σοφώτεροι ἐκείνων εἶναι; — ἀνάγκη, ἔφη, ὦ Σώκρατες.
to-him wiser than-those to-be necessity he-said O Socrates
b οὕτως ἄρα ἔχει, ἦν δ' ἐγώ, ὦ φίλε Λύσι· εἰς μὲν ταῦτα,
so then it-is said — I O dear Lysis in indeed these-things
ἃ ἂν φρόνιμοι γενώμεθα, ἅπαντες ἡμῖν ἐπιτρέψουσιν,
which — prudent we-become all to-us will-entrust
Ἕλληνές τε καὶ βάρβαροι καὶ ἄνδρες καὶ γυναῖκες,
Greeks both and barbarians both men and women
ποιήσομέν τε ἐν τούτοις ὅτι ἂν βουλώμεθα, καὶ οὐδεὶς
we-shall-do both in these whatever — we-wish and no-one
ἡμᾶς ἑκὼν εἶναι ἐμποδιεῖ, ἀλλ' αὐτοί τε ἐλεύθεροι ἐσόμεθα
us willingly to-be will-hinder but ourselves both free will-be
ἐν αὐτοῖς καὶ ἄλλων ἄρχοντες, ἡμέτερά τε ταῦτα ἔσται —
in them and of-others rulers ours both these-things will-be
ὀνησόμεθα γὰρ ἀπ' αὐτῶν — εἰς ἃ δ' ἂν νοῦν μὴ
we-shall-profit for from them in what-things but — mind not
κτησώμεθα, οὔτε τις ἡμῖν ἐπιτρέψει περὶ αὐτὰ ποιεῖν
we-acquire neither anyone to-us will-entrust about them to-do
τὰ ἡμῖν δοκοῦντα, ἀλλ' ἐμποδιοῦσι πάντες καθ' ὅτι ἂν
the to-us seeming but will-hinder all in whatever —
δύνωνται, οὐ μόνον οἱ ἀλλότριοι, ἀλλὰ καὶ ὁ πατὴρ καὶ ἡ
they-can not only the strangers but also the father and the

μήτηρ καὶ εἴ τι τούτων οἰκειότερόν ἐστιν, αὐτοί τε ἐν
mother and if anything than-these more-own is ourselves both in
αὐτοῖς ἐσόμεθα ἄλλων ὑπήκοοι, καὶ ἡμῖν ἔσται ἀλλότρια·
them will-be to-others subject and to-us they-will-be others'
οὐδὲν γὰρ ἀπ' αὐτῶν ὀνησόμεθα. συγχωρεῖς οὕτως
nothing for from them shall-we-profit do-you-agree so
ἔχειν; — συγχωρῶ. — ἆρ' οὖν τῳ φίλοι ἐσόμεθα καί
to-be I-agree so then to-anyone friends shall-we-be and
τις ἡμᾶς φιλήσει ἐν τούτοις, ἐν οἷς ἂν ὦμεν ἀνωφελεῖς;
anyone us will-love in these in which — we-are useless
— οὐ δῆτα, ἔφη. — νῦν ἄρα οὐδὲ σὲ ὁ πατὴρ οὐδὲ d
not indeed he-said now then not-even you the father nor
ἄλλος ἄλλον οὐδένα φιλεῖ, καθ' ὅσον ἂν ᾖ ἄχρηστος. —
other another anyone loves in so-far-as — he-is useless
οὐκ ἔοικεν, ἔφη. — ἐὰν μὲν ἄρα σοφὸς γένῃ, ὦ παῖ,
not it-seems he-said if indeed then wise you-become O boy
πάντες σοι φίλοι καὶ πάντες σοι οἰκεῖοι ἔσονται —
all to-you friends and all to-you intimate will-be
χρήσιμος γὰρ καὶ ἀγαθὸς ἔσῃ — εἰ δὲ μή, σοὶ οὔτε
useful for and good you-will-be if but not to-you neither
ἄλλος οὐδεὶς οὔτε ὁ πατὴρ φίλος ἔσται οὔτε ἡ μήτηρ
other anyone nor the father friend will-be nor the mother
οὔτε οἱ οἰκεῖοι. οἷόν τε οὖν ἐπὶ τούτοις, ὦ Λύσι, μέγα
nor the intimates possible — then on these-things O Lysis great
φρονεῖν, ἐν οἷς τις μήπω φρονεῖ; — καὶ πῶς ἄν;
to-think in which anyone not-yet thinks and how —
ἔφη. — εἰ δ' ἄρα σὺ διδασκάλου δέῃ, οὔπω φρονεῖς. —
he-said if but then you of-a-teacher need not-yet you-think
ἀληθῆ. — οὐδ' ἄρα μεγαλόφρων εἶ, εἴπερ ἄφρων
true nor then high-minded are-you if-indeed foolish
ἔτι. — μὰ Δία, ἔφη, ὦ Σώκρατες, οὔ μοι δοκεῖ.
still by Zeus he-said O Socrates not to-me it-seems

e καὶ ἐγὼ ἀκούσας αὐτοῦ ἀπέβλεψα πρὸς τὸν Ἱπποθάλη, καὶ
and I having-heard him looked toward — Hippothales and
ὀλίγου ἐξήμαρτον· ἐπῆλθε γάρ μοι εἰπεῖν ὅτι οὕτω χρή,
by-little I-erred it-came for to-me to-say that so it-is-needful
ὦ Ἱππόθαλες, τοῖς παιδικοῖς διαλέγεσθαι, ταπεινοῦντα
O Hippothales with-the beloved to-converse humbling
καὶ συστέλλοντα, ἀλλὰ μὴ ὥσπερ σὺ χαυνοῦντα καὶ
and drawing-in but not as you puffing-up and
διαθρύπτοντα.
pampering

211 κατιδὼν οὖν αὐτὸν ἀγωνιῶντα καὶ τεθορυβημένον ὑπὸ
having-seen then him in-agony and thrown-into-confusion by
τῶν λεγομένων, ἀνεμνήσθην ὅτι καὶ προσεστὼς λανθάνειν
the things-said I-remembered that also standing-near to-escape-notice
τὸν Λύσιν ἐβούλετο· ἀνέλαβον οὖν ἐμαυτὸν καὶ ἐπέσχον
— Lysis he-wished I-took-up then myself and checked
τοῦ λόγου. καὶ ἐν τούτῳ ὁ Μενέξενος πάλιν ἦκεν, καὶ
the speech and in this — Menexenus again came and
ἐκαθέζετο παρὰ τὸν Λύσιν, ὅθεν καὶ ἐξανέστη. ὁ οὖν
sat-down beside — Lysis whence also he-had-got-up — then
Λύσις μάλα παιδικῶς καὶ φιλικῶς, λάθρᾳ τοῦ Μενεξένου,
Lysis very childishly and affectionately secretly — of-Menexenus
σμικρὸν πρός με λέγων ἔφη· ὦ Σώκρατες, ἅπερ καὶ
softly to me speaking he-said O Socrates what-very also
ἐμοὶ λέγεις, εἰπὲ καὶ Μενεξένῳ.
to-me you-say say also to-Menexenus
καὶ ἐγὼ εἶπον, ταῦτα μὲν σὺ αὐτῷ ἐρεῖς, ὦ Λύσι·
and I said these-things indeed you to-him will-tell O Lysis
πάντως γὰρ προσεῖχες τὸν νοῦν.
in-every-way for you-applied the mind
πάνυ μὲν οὖν, ἔφη.
certainly indeed then he-said

πειρῶ τοίνυν, ἦν δ' ἐγώ, ἀπομνημονεῦσαι αὐτὰ ὅτι b
try then said — I to-remember them as
μάλιστα, ἵνα τούτῳ σαφῶς πάντα εἴπῃς· ἐὰν δέ τι
most so-that to-this-one clearly all-things you-may-tell if but anything
αὐτῶν ἐπιλάθῃ, αὖθίς με ἀνερέσθαι ὅταν ἐντύχῃς πρῶτον.
of-them you-forget again me to-ask whenever you-meet first
ἀλλὰ ποιήσω, ἔφη, ταῦτα, ὦ Σώκρατες, πάνυ σφόδρα,
but I-will-do he-said these-things O Socrates very greatly
εὖ ἴσθι. ἀλλά τι ἄλλο αὐτῷ λέγε, ἵνα καὶ ἐγὼ
well know but something other to-him say so-that also I
ἀκούω, ἕως ἂν οἴκαδε ὥρα ᾖ ἀπιέναι.
may-hear until — home time be to-go-off
ἀλλὰ χρὴ ποιεῖν ταῦτα, ἦν δ' ἐγώ, ἐπειδή γε καὶ σὺ
but it-is-needful to-do these-things said — I since at-least also you
κελεύεις. ἀλλὰ ὅρα ὅπως ἐπικουρήσεις μοι, ἐάν με ἐλέγχειν
bid but see that you-will-help me if me to-refute
ἐπιχειρῇ ὁ Μενέξενος· ἢ οὐκ οἶσθα ὅτι ἐριστικός ἐστιν;
attempts — Menexenus or not you-know that contentious he-is
ναὶ μὰ Δία, ἔφη, σφόδρα γε· διὰ ταῦτά τοι καὶ c
yes by Zeus he-said greatly at-least because-of these-things surely also
βούλομαί σε αὐτῷ διαλέγεσθαι.
I-wish you with-him to-converse
ἵνα, ἦν δ' ἐγώ, καταγέλαστος γένωμαι;
so-that said — I laughable I-may-become
οὐ μὰ Δία, ἔφη, ἀλλ' ἵνα αὐτὸν κολάσῃς.
not by Zeus he-said but so-that him you-may-punish
πόθεν; ἦν δ' ἐγώ. οὐ ῥᾴδιον· δεινὸς γὰρ ὁ ἄνθρωπος,
whence said — I not easy terrible for the fellow
Κτησίππου μαθητής. πάρεστι δέ τοι αὐτός — οὐχ
of-Ctesippus pupil is-present and surely himself not
ὁρᾷς; — Κτήσιππος.
you-see Ctesippus

μηδενός σοι, ἔφη, μελέτω, ὦ Σώκρατες, ἀλλ' ἴθι διαλέγου
of-nothing to-you he-said let-it-matter O Socrates but come converse
αὐτῷ.
with-him
διαλεκτέον, ἦν δ' ἐγώ.
one-must-converse said — I
d ταῦτα οὖν ἡμῶν λεγόντων πρὸς ἡμᾶς αὐτούς, τί ὑμεῖς,
these-things then us saying to us ourselves why you
ἔφη ὁ Κτήσιππος, αὐτὼ μόνω ἑστιᾶσθον, ἡμῖν δὲ οὐ
said — Ctesippus yourselves alone feast to-us but not
μεταδίδοτον τῶν λόγων;
give-a-share of-the speeches
ἀλλὰ μήν, ἦν δ' ἐγώ, μεταδοτέον. ὅδε γάρ τι
but indeed said — I one-must-give-a-share this-one for something
ὧν λέγω οὐ μανθάνει, ἀλλά φησιν οἴεσθαι Μενέξενον
of-what I-say not understands but says to-think Menexenus
εἰδέναι, καὶ κελεύει τοῦτον ἐρωτᾶν.
to-know and bids this-one to-ask
τί οὖν, ἦ δ' ὅς, οὐκ ἐρωτᾷς;
why then said — he not you-ask
e ἀλλ' ἐρήσομαι, ἦν δ' ἐγώ. καί μοι εἰπέ, ὦ Μενέξενε, ὃ
but I-will-ask said — I and to-me say O Menexenus what
ἄν σε ἔρωμαι. τυγχάνω γὰρ ἐκ παιδὸς ἐπιθυμῶν κτήματός
— you I-ask I-happen for from childhood desiring possession
του, ὥσπερ ἄλλος ἄλλου. ὁ μὲν γάρ τις ἵππους ἐπιθυμεῖ
some as one another the-one indeed for some horses desires
κτᾶσθαι, ὁ δὲ κύνας, ὁ δὲ χρυσίον, ὁ δὲ τιμάς· ἐγὼ
to-acquire the other dogs the other gold the other honors I
δὲ πρὸς μὲν ταῦτα πρᾴως ἔχω, πρὸς δὲ τὴν τῶν φίλων
and toward indeed these-things mildly am toward but the of-the friends
κτῆσιν πάνυ ἐρωτικῶς, καὶ βουλοίμην ἄν μοι φίλον ἀγαθὸν
acquisition very passionately and I-would-wish — for-me friend good

γενέσθαι μᾶλλον ἢ τὸν ἄριστον ἐν ἀνθρώποις ὄρτυγα
to-become rather than the best among humans quail
ἢ ἀλεκτρυόνα, καὶ ναὶ μὰ Δία ἔγωγε μᾶλλον ἢ ἵππον τε
or cock and yes by Zeus I-at-least rather than horse both
καὶ κύνα — οἶμαι δέ, νὴ τὸν κύνα, μᾶλλον ἢ τὸ Δαρείου
and dog I-think and by the dog rather than the of-Darius
χρυσίον κτήσασθαι δεξαίμην πολὺ πρότερον ἑταῖρον, μᾶλλον
gold to-acquire I-would-accept much sooner comrade rather
δὲ ἢ αὐτὸν Δαρεῖον — οὕτως ἐγὼ φιλέταιρός τίς εἰμι.
and than himself Darius so I fond-of-comrades some am

V · WHO IS THE FRIEND

Socrates, who is so far from having a friend that he does not know how one is made, asks Menexenus which becomes the friend when one loves another. Menexenus says either, but love can go unreturned, even hated. If both must love, there are no lovers of horses, quails, or wisdom, and the poet errs about children, horses, and dogs. If the loved is the friend, many are loved by enemies and hated by friends; if the lover, the same absurdity follows. Menexenus is at a loss; Lysis says they have inquired wrongly and blushes, and Socrates turns to him.

ὑμᾶς οὖν ὁρῶν, σέ τε καὶ Λύσιν, ἐκπέπληγμαι καὶ 212
you then seeing you both and Lysis I-am-amazed and
εὐδαιμονίζω ὅτι οὕτω νέοι ὄντες οἷοι τ' ἐστὸν τοῦτο τὸ
I-count-happy that so young being able — you-two-are this the
κτῆμα ταχὺ καὶ ῥᾳδίως κτᾶσθαι, καὶ σύ τε τοῦτον οὕτω
possession quickly and easily to-acquire and you both this-one so
φίλον ἐκτήσω ταχύ τε καὶ σφόδρα, καὶ αὖ οὗτος σέ·
friend acquired quickly both and greatly and again this-one you
ἐγὼ δὲ οὕτω πόρρω εἰμὶ τοῦ κτήματος, ὥστε οὐδ'
I but so far am from-the possession that not-even

ὅντινα τρόπον γίγνεται φίλος ἕτερος ἑτέρου οἶδα, ἀλλὰ
in-what way becomes friend one of-another I-know but
ταῦτα δὴ αὐτά σε βούλομαι ἐρέσθαι ἅτε ἔμπειρον.
these-things indeed very you I-wish to-ask as experienced
b καί μοι εἰπέ· ἐπειδάν τίς τινα φιλῇ, πότερος ποτέρου φίλος
and to-me say when anyone anyone loves which of-which friend
γίγνεται, ὁ φιλῶν τοῦ φιλουμένου ἢ ὁ φιλούμενος
becomes the-one loving of-the-one loved or the-one loved
τοῦ φιλοῦντος· ἢ οὐδὲν διαφέρει; — οὐδέν, ἔφη, ἔμοιγε
of-the-one loving or nothing differs nothing he-said to-me-at-least
δοκεῖ διαφέρειν. — πῶς λέγεις; ἦν δ' ἐγώ· ἀμφότεροι ἄρα
seems to-differ how do-you-mean said — I both then
ἀλλήλων φίλοι γίγνονται, ἐὰν μόνος ὁ ἕτερος τὸν ἕτερον
of-one-another friends become if alone the one the other
φιλῇ; — ἔμοιγε, ἔφη, δοκεῖ. — τί δέ; οὐκ ἔστιν
loves to-me-at-least he-said it-seems what and not is-it-possible
φιλοῦντα μὴ ἀντιφιλεῖσθαι ὑπὸ τούτου ὃν ἂν φιλῇ; —
loving not to-be-loved-back by this-one whom — he-loves
ἔστιν. — τί δέ; ἆρα ἔστιν καὶ μισεῖσθαι φιλοῦντα; οἷόν
it-is-possible what and then is-it-possible even to-be-hated loving as
που ἐνίοτε δοκοῦσι καὶ οἱ ἐρασταὶ πάσχειν πρὸς τὰ παιδικά·
surely sometimes seem also the lovers to-suffer toward the beloved
φιλοῦντες γὰρ ὡς οἷόν τε μάλιστα οἱ μὲν οἴονται οὐκ
loving for as possible — most the-ones indeed think not
ἀντιφιλεῖσθαι, οἱ δὲ καὶ μισεῖσθαι. ἢ οὐκ ἀληθὲς δοκεῖ
to-be-loved-back the-others and even to-be-hated or not true seems
σοι τοῦτο; — σφόδρα γε, ἔφη, ἀληθές. — οὐκοῦν ἐν τῷ
to-you this very at-least he-said true therefore in the
τοιούτῳ, ἦν δ' ἐγώ, ὁ μὲν φιλεῖ, ὁ δὲ φιλεῖται; —
such said — I the-one indeed loves the-other and is-loved
ναί. — πότερος οὖν αὐτῶν ποτέρου φίλος ἐστίν;
yes which then of-them of-which friend is

ὁ φιλῶν τοῦ φιλουμένου, ἐάντε καὶ ἀντιφιλῆται d
the-one loving of-the-one loved whether also he-is-loved-back
ἐάντε καὶ μισῆται, ἢ ὁ φιλούμενος τοῦ φιλοῦντος;
or also he-is-hated or the-one loved of-the-one loving
ἢ οὐδέτερος αὖ ἐν τῷ τοιούτῳ οὐδετέρου φίλος ἐστίν, ἂν
or neither again in the such of-neither friend is if
μὴ ἀμφότεροι ἀλλήλους φιλῶσιν; — ἔοικε γοῦν οὕτως
not both one-another love it-seems at-any-rate so
ἔχειν. — ἀλλοίως ἄρα νῦν ἡμῖν δοκεῖ ἢ πρότερον ἔδοξεν.
to-be otherwise then now to-us it-seems than before it-seemed
τότε μὲν γάρ, εἰ ὁ ἕτερος φιλοῖ, φίλω εἶναι ἄμφω· νῦν δέ,
then indeed for if the one should-love friends to-be both now but
ἂν μὴ ἀμφότεροι φιλῶσιν, οὐδέτερος φίλος. — κινδυνεύει,
if not both love neither friend it-is-likely
ἔφη. — οὐκ ἄρα ἐστὶν φίλον τῷ φιλοῦντι οὐδὲν μὴ οὐκ
he-said not then is dear to-the loving nothing that not
ἀντιφιλοῦν. — οὐκ ἔοικεν. — οὐδ' ἄρα φίλιπποί εἰσιν οὓς ἂν
loving-back not it-seems nor then horse-lovers are whom —
οἱ ἵπποι μὴ ἀντιφιλῶσιν, οὐδὲ φιλόρτυγες, οὐδ' αὖ φιλόκυνές
the horses not love-back nor quail-lovers nor again dog-lovers
γε καὶ φίλοινοι καὶ φιλογυμνασταὶ καὶ φιλόσοφοι, ἂν μὴ
at-least and wine-lovers and exercise-lovers and wisdom-lovers if not
ἡ σοφία αὐτοὺς ἀντιφιλῇ. ἢ φιλοῦσι μὲν ταῦτα ἕκαστοι,
the wisdom them loves-back or they-love indeed these-things each
οὐ μέντοι φίλα ὄντα, ἀλλὰ ψεύδεθ' ὁ ποιητής, ὃς ἔφη —
not however dear being but lies the poet who said

ὄλβιος, ᾧ παῖδές τε φίλοι καὶ μώνυχες ἵπποι
blessed to-whom children both dear and single-hoofed horses
καὶ κύνες ἀγρευταὶ καὶ ξένος ἀλλοδαπός;
and dogs hunting and guest-friend foreign

— οὐκ ἔμοιγε δοκεῖ, ἦ δ' ὅς. — ἀλλ' ἀληθῆ δοκεῖ
not to-me-at-least it-seems said — he but true-things he-seems
λέγειν σοι; — ναί.
to-say to-you yes
213 τὸ φιλούμενον ἄρα τῷ φιλοῦντι φίλον ἐστίν, ὡς ἔοικεν, ὦ
the loved then to-the loving dear is as it-seems O
Μενέξενε, ἐάντε φιλῇ ἐάντε καὶ μισῇ· οἷον καὶ τὰ νεωστὶ
Menexenus whether it-loves or also it-hates as also the newly
γεγονότα παιδία, τὰ μὲν οὐδέπω φιλοῦντα, τὰ δὲ
born children the-ones indeed not-yet loving the-others and
καὶ μισοῦντα, ὅταν κολάζηται ὑπὸ τῆς μητρὸς ἢ ὑπὸ τοῦ
even hating when they-are-punished by the mother or by the
πατρός, ὅμως καὶ μισοῦντα ἐν ἐκείνῳ τῷ χρόνῳ πάντων
father nevertheless even hating at that the time of-all
μάλιστά ἐστι τοῖς γονεῦσι φίλτατα. — ἔμοιγε δοκεῖ, ἔφη,
most they-are to-the parents dearest to-me-at-least it-seems he-said
οὕτως ἔχειν. — οὐκ ἄρα ὁ φιλῶν φίλος ἐκ τούτου τοῦ
so to-be not then the-one loving friend from this the
λόγου, ἀλλ' ὁ φιλούμενος. — ἔοικεν. — καὶ ὁ μισούμενος
reasoning but the-one loved it-seems and the hated
ἐχθρὸς ἄρα, ἀλλ' οὐχ ὁ μισῶν. — φαίνεται. — πολλοὶ
enemy then but not the-one hating it-appears many
ἄρα ὑπὸ τῶν ἐχθρῶν φιλοῦνται, ὑπὸ δὲ τῶν φίλων
then by the enemies are-loved by and the friends
μισοῦνται, καὶ τοῖς μὲν ἐχθροῖς φίλοι εἰσίν, τοῖς δὲ φίλοις
are-hated and to-the indeed enemies friends they-are to-the and friends
ἐχθροί, εἰ τὸ φιλούμενον φίλον ἐστὶν ἀλλὰ μὴ τὸ φιλοῦν.
enemies if the loved dear is but not the loving
καίτοι πολλὴ ἀλογία, ὦ φίλε ἑταῖρε, μᾶλλον δὲ οἶμαι καὶ
and-yet much absurdity O dear comrade rather and I-think also
ἀδύνατον, τῷ τε φίλῳ ἐχθρὸν καὶ τῷ ἐχθρῷ φίλον εἶναι.
impossible to-the both friend enemy and to-the enemy friend to-be

— ἀληθῆ, ἔφη, ἔοικας λέγειν, ὦ Σώκρατες. — οὐκοῦν c
true-things he-said you-seem to-say O Socrates therefore
εἰ τοῦτ' ἀδύνατον, τὸ φιλοῦν ἂν εἴη φίλον τοῦ
if this impossible the loving — would-be dear of-the
φιλουμένου. — φαίνεται. — τὸ μισοῦν ἄρα πάλιν ἐχθρὸν
loved it-appears the hating then again enemy
τοῦ μισουμένου. — ἀνάγκη. — οὐκοῦν ταὐτὰ ἡμῖν
of-the hated necessity therefore the-same-things to-us
συμβήσεται ἀναγκαῖον εἶναι ὁμολογεῖν, ἅπερ ἐπὶ
will-result necessary to-be to-agree which-very in-the-case-of
τῶν πρότερον, πολλάκις φίλον εἶναι μὴ φίλου, πολλάκις
the former often dear to-be not of-friend often
δὲ καὶ ἐχθροῦ, ὅταν ἢ μὴ φιλοῦν τις φιλῇ ἢ καὶ
and even of-enemy when either not loving someone loves or even
μισοῦν φιλῇ· πολλάκις δ' ἐχθρὸν εἶναι μὴ ἐχθροῦ ἢ καὶ
hating loves often and enemy to-be not of-enemy or even
φίλου, ὅταν ἢ μὴ μισοῦν τις μισῇ ἢ καὶ φιλοῦν
of-friend when either not hating someone hates or even loving
μισῇ. — κινδυνεύει, ἔφη. — τί οὖν δὴ χρησώμεθα,
hates it-is-likely he-said what then indeed shall-we-do
ἦν δ' ἐγώ, εἰ μήτε οἱ φιλοῦντες φίλοι ἔσονται μήτε
said — I if neither the loving friends will-be nor
οἱ φιλούμενοι μήτε οἱ φιλοῦντές τε καὶ φιλούμενοι;
the loved nor the loving both and loved
ἀλλὰ καὶ παρὰ ταῦτα ἄλλους τινὰς ἔτι φήσομεν εἶναι
but also beside these others some still shall-we-say to-be
φίλους ἀλλήλοις γιγνομένους; — οὐ μὰ τὸν Δία, ἔφη, ὦ
friends to-one-another becoming not by — Zeus he-said O
Σώκρατες, οὐ πάνυ εὐπορῶ ἔγωγε. — ἆρα μή, ἦν δ'
Socrates not very I-am-resourceful I-at-least then not said —
ἐγώ, ὦ Μενέξενε, τὸ παράπαν οὐκ ὀρθῶς ἐζητοῦμεν; —
I O Menexenus — altogether not rightly we-were-seeking

οὐκ ἔμοιγε δοκεῖ, ὦ Σώκρατες, ἔφη, ὁ Λύσις, καὶ ἅμα
not to-me-at-least it-seems O Socrates said — Lysis and at-once
εἰπὼν ἠρυθρίασεν· ἐδόκει γάρ μοι ἄκοντ' αὐτὸν ἐκφεύγειν
having-said blushed it-seemed for to-me unwillingly him to-escape
τὸ λεχθὲν διὰ τὸ σφόδρα προσέχειν τὸν νοῦν τοῖς
the thing-said because-of the greatly to-apply the mind to-the
λεγομένοις, δῆλος δ' ἦν καὶ ὅτε ἠκροᾶτο οὕτως ἔχων.
things-said clear and he-was also when he-listened so being
e ἐγὼ οὖν βουλόμενος τόν τε Μενέξενον ἀναπαῦσαι καὶ
I then wishing — both Menexenus to-rest and
ἐκείνου ἡσθεὶς τῇ φιλοσοφίᾳ, οὕτω μεταβαλὼν πρὸς τὸν
of-that-one pleased by-the philosophy thus having-turned toward —
Λύσιν ἐποιούμην τοὺς λόγους, καὶ εἶπον· ὦ Λύσι, ἀληθῆ
Lysis I-made the speeches and said O Lysis true-things
μοι δοκεῖς λέγειν ὅτι εἰ ὀρθῶς ἡμεῖς ἐσκοποῦμεν, οὐκ
to-me you-seem to-say that if rightly we were-considering not
ἄν ποτε οὕτως ἐπλανώμεθα.
— ever so we-would-wander

VI · LIKE AND UNLIKE

Socrates turns to the poets, who say god brings like to like, and to the natural philosophers, who say the like is always friend to the like. But the wicked are enemies to one another, so only the good are friends. Yet one like thing cannot help another, and the good, being sufficient, need nothing and so love nothing. Others, citing Hesiod's potter and beggar, say like are enemies and opposites friends, as the poor love the rich and the dry desires the wet.

214 ἀλλὰ ταύτῃ μὲν μηκέτι ἴωμεν — καὶ γὰρ χαλεπή τίς
but in-this-way indeed no-longer let-us-go and for hard some
μοι φαίνεται ὥσπερ ὁδὸς ἡ σκέψις — ᾗ δὲ ἐτράπημεν,
to-me appears like road the inquiry where and we-turned

δοκεῖ μοι χρῆναι ἰέναι, σκοποῦντα κατὰ τοὺς ποιητάς·
it-seems to-me to-be-needful to-go considering according-to the poets
οὗτοι γὰρ ἡμῖν ὥσπερ πατέρες τῆς σοφίας εἰσὶν καὶ
these for to-us like fathers of-the wisdom are and
ἡγεμόνες. λέγουσι δὲ δήπου οὐ φαύλως ἀποφαινόμενοι
guides they-say and surely not poorly declaring
περὶ τῶν φίλων, οἳ τυγχάνουσιν ὄντες· ἀλλὰ τὸν θεὸν
about the friends who happen being but the god
αὐτόν φασιν ποιεῖν φίλους αὐτούς, ἄγοντα παρ' ἀλλήλους.
himself they-say to-make friends them leading to one-another
λέγουσι δέ πως ταῦτα, ὡς ἐγῷμαι, ὠδί —
they-say and somehow these-things as I-think thus

αἰεί τοι τὸν ὁμοῖον ἄγει θεὸς ὡς τὸν ὁμοῖον
ever surely the like leads god to the like

καὶ ποιεῖ γνώριμον· ἢ οὐκ ἐντετύχηκας τούτοις τοῖς b
and makes known or not have-you-met-with these the
ἔπεσιν; — ἔγωγ', ἔφη. — οὐκοῦν καὶ τοῖς τῶν σοφωτάτων
verses I-have he-said therefore also the of-the wisest
συγγράμμασιν ἐντετύχηκας ταῦτα αὐτὰ λέγουσιν, ὅτι τὸ
writings have-you-met-with these very-things saying that the
ὅμοιον τῷ ὁμοίῳ ἀνάγκη ἀεὶ φίλον εἶναι; εἰσὶν δέ που
like to-the like necessity always dear to-be they-are and surely
οὗτοι οἱ περὶ φύσεώς τε καὶ τοῦ ὅλου διαλεγόμενοι
these the-ones about nature both and the whole conversing
καὶ γράφοντες. — ἀληθῆ, ἔφη, λέγεις. — ἆρ' οὖν, ἦν δ'
and writing true-things he-said you-say so then said —
ἐγώ, εὖ λέγουσιν; — ἴσως, ἔφη. — ἴσως, ἦν δ' ἐγώ, τὸ
I well do-they-speak perhaps he-said perhaps said — I the
ἥμισυ αὐτοῦ, ἴσως δὲ καὶ πᾶν, ἀλλ' ἡμεῖς οὐ συνίεμεν.
half of-it perhaps and also all but we not understand

δοκεῖ γὰρ ἡμῖν ὅ γε πονηρὸς τῷ πονηρῷ, ὅσῳ
it-seems for to-us the-one at-least wicked to-the wicked by-as-much-as
ἂν ἐγγυτέρω προσίῃ καὶ μᾶλλον ὁμιλῇ, τοσούτῳ ἐχθίων
— nearer he-comes and more associates by-so-much more-hateful
γίγνεσθαι. ἀδικεῖ γάρ· ἀδικοῦντας δὲ καὶ ἀδικουμένους
to-become he-does-wrong for those-doing-wrong but and being-wronged
ἀδύνατόν που φίλους εἶναι. οὐχ οὕτως; — ναί, ἦ δ' ὅς. —
impossible surely friends to-be not so yes said — he
ταύτῃ μὲν ἂν τοίνυν τοῦ λεγομένου τὸ ἥμισυ οὐκ ἀληθὲς
in-this-way indeed — then of-the saying the half not true
εἴη, εἴπερ οἱ πονηροὶ ἀλλήλοις ὅμοιοι. — ἀληθῆ λέγεις.
would-be if-indeed the wicked to-one-another like true-things you-say
d — ἀλλά μοι δοκοῦσιν λέγειν τοὺς ἀγαθοὺς ὁμοίους εἶναι
but to-me they-seem to-mean the good like to-be
ἀλλήλοις καὶ φίλους, τοὺς δὲ κακούς, ὅπερ καὶ λέγεται
to-one-another and friends the but bad which-very also is-said
περὶ αὐτῶν, μηδέποτε ὁμοίους μηδ' αὐτοὺς αὑτοῖς
about them never like not-even themselves to-themselves
εἶναι, ἀλλ' ἐμπλήκτους τε καὶ ἀσταθμήτους· ὃ δὲ αὐτὸ
to-be but capricious both and unstable what and itself
αὑτῷ ἀνόμοιον εἴη καὶ διάφορον, σχολῇ γέ τῳ
to-itself unlike might-be and at-variance hardly at-least to-any
ἄλλῳ ὅμοιον ἢ φίλον γένοιτ' ἄν. ἢ οὐ καὶ σοὶ δοκεῖ
other like or friend could-become — or not also to-you it-seems
οὕτως; — ἔμοιγ', ἔφη. — τοῦτο τοίνυν αἰνίττονται, ὡς
so to-me-at-least he-said this then they-hint as
ἐμοὶ δοκοῦσιν, ὦ ἑταῖρε, οἱ τὸ ὅμοιον τῷ ὁμοίῳ φίλον
to-me they-seem O comrade those the like to-the like dear
λέγοντες, ὡς ὁ ἀγαθὸς τῷ ἀγαθῷ μόνος μόνῳ φίλος,
saying that the good to-the good alone to-alone friend
ὁ δὲ κακὸς οὔτε ἀγαθῷ οὔτε κακῷ οὐδέποτε εἰς ἀληθῆ
the but bad neither to-good nor to-bad ever into true

φιλίαν ἔρχεται. συνδοκεῖ σοι; — κατένευσεν. — ἔχομεν
friendship comes does-it-seem-so-too to-you he-nodded we-have
ἄρα ἤδη τίνες εἰσὶν οἱ φίλοι· ὁ γὰρ λόγος ἡμῖν σημαίνει
then already who are the friends the for reasoning to-us signifies
ὅτι οἳ ἂν ὦσιν ἀγαθοί. — πάνυ γε, ἔφη, δοκεῖ.
that who — are good certainly at-least he-said it-seems
καὶ ἐμοί, ἦν δ' ἐγώ. καίτοι δυσχεραίνω τί γε ἐν
and to-me said — I and-yet I-am-uneasy-at something at-least in
αὐτῷ· φέρε οὖν, ὦ πρὸς Διός, ἴδωμεν τί καὶ ὑποπτεύω.
it come then O by Zeus let-us-see what also I-suspect
ὁ ὅμοιος τῷ ὁμοίῳ καθ' ὅσον ὅμοιος φίλος, καὶ ἔστιν
the like to-the like in so-far-as like friend and is
χρήσιμος ὁ τοιοῦτος τῷ τοιούτῳ; μᾶλλον δὲ ὧδε·
useful the such to-the such rather and thus
ὁτιοῦν ὅμοιον ὁτῳοῦν ὁμοίῳ τίνα ὠφελίαν ἔχειν
anything-whatever like to-anything-whatever like what benefit to-have
ἢ τίνα βλάβην ἂν ποιῆσαι δύναιτο, ὃ μὴ καὶ αὐτὸ αὑτῷ;
or what harm — to-do could-it which not also itself to-itself
ἢ τί ἂν παθεῖν, ὃ μὴ καὶ ὑφ' αὑτοῦ πάθοι; τὰ 215
or what — to-suffer which not also by itself it-might-suffer the
δὴ τοιαῦτα πῶς ἂν ὑπ' ἀλλήλων ἀγαπηθείη, μηδεμίαν
indeed such-things how — by one-another would-be-cherished no
ἐπικουρίαν ἀλλήλοις ἔχοντα; ἔστιν ὅπως; — οὐκ ἔστιν. —
help to-one-another having is-it how not it-is
ὃ δὲ μὴ ἀγαπῷτο, πῶς φίλον; — οὐδαμῶς. — ἀλλὰ
what but not would-be-cherished how dear in-no-way but
δὴ ὁ μὲν ὅμοιος τῷ ὁμοίῳ οὐ φίλος· ὁ δὲ ἀγαθὸς τῷ
indeed the indeed like to-the like not friend the but good to-the
ἀγαθῷ καθ' ὅσον ἀγαθός, οὐ καθ' ὅσον ὅμοιος, φίλος ἂν
good in so-far-as good not in so-far-as like friend —
εἴη; — ἴσως. — τί δέ; οὐχ ὁ ἀγαθός, καθ' ὅσον ἀγαθός,
would-be perhaps what and not the good in so-far-as good

κατὰ τοσοῦτον ἱκανὸς ἂν εἴη αὑτῷ; — ναί. — ὁ δέ
in so-much sufficient — would-be to-himself yes the and
γε ἱκανὸς οὐδενὸς δεόμενος κατὰ τὴν ἱκανότητα. — πῶς
at-least sufficient of-nothing in-need as-to the sufficiency how
γὰρ οὔ; — ὁ δὲ μή του δεόμενος οὐδέ τι ἀγαπῴη
for not the but not of-anything in-need nor anything would-cherish
ἄν. — οὐ γὰρ οὖν. — ὃ δὲ μὴ ἀγαπῴη, οὐδ' ἂν
— not for indeed what but not he-would-cherish nor —
φιλοῖ. — οὐ δῆτα. — ὁ δὲ μὴ φιλῶν γε οὐ φίλος. —
would-he-love not indeed the-one but not loving at-least not friend
οὐ φαίνεται. — πῶς οὖν οἱ ἀγαθοὶ τοῖς ἀγαθοῖς ἡμῖν φίλοι
not it-appears how then the good to-the good for-us friends
ἔσονται τὴν ἀρχήν, οἳ μήτε ἀπόντες ποθεινοὶ ἀλλήλοις —
will-be (at)-the outset who neither being-absent missed by-one-another
ἱκανοὶ γὰρ ἑαυτοῖς καὶ χωρὶς ὄντες — μήτε παρόντες χρείαν
sufficient for to-themselves even apart being nor being-present need
αὑτῶν ἔχουσιν; τοὺς δὴ τοιούτους τίς μηχανὴ περὶ πολλοῦ
of-themselves have the indeed such what device about much
ποιεῖσθαι ἀλλήλους; — οὐδεμία, ἔφη. — φίλοι δέ γε οὐκ
to-hold one-another none he-said friends but at-least not
ἂν εἶεν μὴ περὶ πολλοῦ ποιούμενοι ἑαυτούς. — ἀληθῆ.
— they-would-be not about much holding themselves true
ἄθρει δή, ὦ Λύσι, πῇ παρακρουόμεθα. ἆρά γε
consider indeed O Lysis where we-are-being-misled then at-least
ὅλῳ τινὶ ἐξαπατώμεθα; — πῶς δή; ἔφη. — ἤδη ποτέ
in-whole some are-we-deceived how indeed he-said already once
του ἤκουσα λέγοντος, καὶ ἄρτι ἀναμιμνήσκομαι, ὅτι
from-someone I-heard saying and just-now I-recall that
τὸ μὲν ὅμοιον τῷ ὁμοίῳ καὶ οἱ ἀγαθοὶ τοῖς ἀγαθοῖς
the indeed like to-the like and the good to-the good

πολεμιώτατοι εἶεν· καὶ δὴ καὶ τὸν Ἡσίοδον ἐπήγετο
most-hostile would-be and indeed also — Hesiod he-brought-in
μάρτυρα, λέγων ὡς ἄρα —
as-witness saying that after-all

καὶ κεραμεὺς κεραμεῖ κοτέει καὶ ἀοιδὸς ἀοιδῷ
both potter with-potter is-angry and singer with-singer
καὶ πτωχὸς πτωχῷ, d
and beggar with-beggar

καὶ τἆλλα δὴ πάντα οὕτως ἔφη ἀναγκαῖον εἶναι e
and the-other-things indeed all so he-said necessary to-be
μάλιστα τὰ ὁμοιότατα πρὸς ἄλληλα φθόνου τε καὶ
most the likest toward one-another with-envy both and
φιλονικίας καὶ ἔχθρας ἐμπίμπλασθαι, τὰ δ' ἀνομοιότατα
with-rivalry and with-enmity to-be-filled the and unlikest
φιλίας· τὸν γὰρ πένητα τῷ πλουσίῳ ἀναγκάζεσθαι
with-friendship the for poor to-the rich to-be-compelled
φίλον εἶναι καὶ τὸν ἀσθενῆ τῷ ἰσχυρῷ τῆς ἐπικουρίας
friend to-be and the weak to-the strong of-the help
ἕνεκα, καὶ τὸν κάμνοντα τῷ ἰατρῷ, καὶ πάντα δὴ
for-the-sake and the sick to-the doctor and every indeed
τὸν μὴ εἰδότα ἀγαπᾶν τὸν εἰδότα καὶ φιλεῖν. καὶ δὴ
the-one not knowing to-cherish the-one knowing and to-love and indeed
καὶ ἔτι ἐπεξῄει τῷ λόγῳ μεγαλοπρεπέστερον, λέγων
also further he-went-on with-the argument more-grandly saying
ὡς ἄρα παντὸς δέοι τὸ ὅμοιον τῷ ὁμοίῳ φίλον εἶναι,
that after-all altogether it-lacked the like to-the like dear to-be
ἀλλ' αὐτὸ τὸ ἐναντίον εἴη τούτου· τὸ γὰρ ἐναντιώτατον
but itself the opposite was of-this the for most-opposite
τῷ ἐναντιωτάτῳ εἶναι μάλιστα φίλον. ἐπιθυμεῖν γὰρ τοῦ
to-the most-opposite to-be most dear to-desire for of-the

τοιούτου ἕκαστον, ἀλλ᾽ οὐ τοῦ ὁμοίου· τὸ μὲν γὰρ ξηρὸν
such each but not of-the like the indeed for dry
ὑγροῦ, τὸ δὲ ψυχρὸν θερμοῦ, τὸ δὲ πικρὸν γλυκέος, τὸ δὲ
of-wet the and cold of-hot the and bitter of-sweet the and
ὀξὺ ἀμβλέος, τὸ δὲ κενὸν πληρώσεως, καὶ τὸ πλῆρες δὲ
sharp of-blunt the and empty of-filling and the full and
κενώσεως, καὶ τἆλλα οὕτω κατὰ τὸν αὐτὸν λόγον.
of-emptying and the-other-things so according-to the same reasoning

VII · THE NEITHER GOOD NOR BAD

Opposites fail too, since the hostile would then be dear to the friendly and the just to the unjust; so neither like nor opposite is friend. Socrates, dizzy, divines that the good, being beautiful, is dear. Of three kinds, good, bad, and neither, the neither is friend to the good because of the presence of bad, as the body, being neither, loves medicine because of disease. A present thing need not make its host such: white lead does not make blond hair white, but old age does. So the bad must be present without yet making the neither bad, for then it would no longer desire the good.

216 τροφὴν γὰρ εἶναι τὸ ἐναντίον τῷ ἐναντίῳ· τὸ γὰρ ὅμοιον
nourishment for to-be the opposite for-the opposite the for like
τοῦ ὁμοίου οὐδὲν ἂν ἀπολαῦσαι. καὶ μέντοι, ὦ ἑταῖρε,
from-the like nothing — to-enjoy and indeed O comrade
καὶ κομψὸς ἐδόκει εἶναι ταῦτα λέγων· εὖ γὰρ ἔλεγεν.
also clever he-seemed to-be these-things saying well for he-spoke
ὑμῖν δέ, ἦν δ᾽ ἐγώ, πῶς δοκεῖ λέγειν; — εὖ γε, ἔφη
to-you and said — I how does-he-seem to-speak well at-least he-said
ὁ Μενέξενος, ὥς γε οὑτωσὶ ἀκοῦσαι. — φῶμεν ἄρα τὸ
— Menexenus as at-least thus to-hear shall-we-say then the
ἐναντίον τῷ ἐναντίῳ μάλιστα φίλον εἶναι; — πάνυ γε. —
opposite to-the opposite most dear to-be certainly at-least

εἶεν, ἦν δ' ἐγώ· οὐκ ἀλλόκοτον, ὦ Μενέξενε; καὶ ἡμῖν
well said — I not outlandish O Menexenus and on-us
εὐθὺς ἅσμενοι ἐπιπηδήσονται οὗτοι οἱ πάσσοφοι ἄνδρες, οἱ
straightway gladly will-leap these the all-wise men the
ἀντιλογικοί, καὶ ἐρήσονται εἰ οὐκ ἐναντιώτατον ἔχθρα
contradiction-mongers and will-ask whether not most-opposite enmity
φιλίᾳ; οἷς τί ἀποκρινούμεθα; ἢ οὐκ ἀνάγκη ὁμολογεῖν
to-friendship to-whom what shall-we-answer or not necessity to-agree
ὅτι ἀληθῆ λέγουσιν; — ἀνάγκη. — ἆρ' οὖν, φήσουσιν, τὸ
that true-things they-say necessity so then they-will-say the
ἐχθρὸν τῷ φίλῳ φίλον ἢ τὸ φίλον τῷ ἐχθρῷ; — οὐδέτερα,
hostile to-the friendly dear or the friendly to-the hostile neither
ἔφη. — ἀλλὰ τὸ δίκαιον τῷ ἀδίκῳ, ἢ τὸ σῶφρον τῷ
he-said but the just to-the unjust or the temperate to-the
ἀκολάστῳ, ἢ τὸ ἀγαθὸν τῷ κακῷ; — οὐκ ἄν μοι δοκεῖ
licentious or the good to-the bad not — to-me it-seems
οὕτως ἔχειν. — ἀλλὰ μέντοι, ἦν δ' ἐγώ, εἴπερ γε κατὰ
so to-be but however said — I if-indeed at-least according-to
τὴν ἐναντιότητά τί τῳ φίλον ἐστίν, ἀνάγκη καὶ
the oppositeness anything to-anything dear is necessity also
ταῦτα φίλα εἶναι. — ἀνάγκη. — οὔτε ἄρα τὸ ὅμοιον τῷ
these dear to-be necessity neither then the like to-the
ὁμοίῳ οὔτε τὸ ἐναντίον τῷ ἐναντίῳ φίλον. — οὐκ ἔοικεν.
like nor the opposite to-the opposite dear not it-seems
ἔτι δὲ καὶ τόδε σκεψώμεθα, μὴ ἔτι μᾶλλον ἡμᾶς λανθάνει c
further and also this let-us-consider lest still more us escapes
τὸ φίλον ὡς ἀληθῶς οὐδὲν τούτων ὄν, ἀλλὰ τὸ μήτε ἀγαθὸν
the dear as truly none of-these being but the neither good
μήτε κακὸν φίλον οὕτω ποτὲ γιγνόμενον τοῦ ἀγαθοῦ. —
nor bad dear so sometimes becoming of-the good
πῶς, ἦ δ' ὅς, λέγεις; — ἀλλὰ μὰ Δία, ἦν δ' ἐγώ, οὐκ οἶδα,
how said — he do-you-mean but by Zeus said — I not I-know

ἀλλὰ τῷ ὄντι αὐτὸς εἰλιγγιῶ ὑπὸ τῆς τοῦ λόγου ἀπορίας,
but in-the reality myself am-dizzy by the of-the argument perplexity
καὶ κινδυνεύει κατὰ τὴν ἀρχαίαν παροιμίαν τὸ καλὸν
and it-is-likely according-to the old proverb the beautiful
φίλον εἶναι. ἔοικε γοῦν μαλακῷ τινι καὶ λείῳ καὶ
dear to-be it-resembles at-any-rate soft something and smooth and
λιπαρῷ· διὸ καὶ ἴσως ῥᾳδίως διολισθαίνει καὶ διαδύεται
sleek wherefore also perhaps easily it-slips-through and slips-away-from
ἡμᾶς, ἅτε τοιοῦτον ὄν. λέγω γὰρ τἀγαθὸν καλὸν εἶναι· σὺ
us since such being I-say for the-good beautiful to-be you
δ' οὐκ οἴει; — ἔγωγε. — λέγω τοίνυν ἀπομαντευόμενος,
and not do-you-think I-at-least I-say then divining
τοῦ καλοῦ τε καὶ ἀγαθοῦ φίλον εἶναι τὸ μήτε ἀγαθὸν
of-the beautiful both and good dear to-be the neither good
μήτε κακόν· πρὸς ἃ δὲ λέγων μαντεύομαι, ἄκουσον.
nor bad toward what and saying I-divine hear
δοκεῖ μοι ὡσπερεὶ τρία ἄττα εἶναι γένη, τὸ μὲν ἀγαθόν,
it-seems to-me as-it-were three some to-be kinds the indeed good
τὸ δὲ κακόν, τὸ δ' οὔτ' ἀγαθὸν οὔτε κακόν· τί δὲ σοί;
the and bad the and neither good nor bad what and to-you
e — καὶ ἐμοί, ἔφη. — καὶ οὔτε τἀγαθὸν τἀγαθῷ οὔτε τὸ
also to-me he-said and neither the-good to-the-good nor the
κακὸν τῷ κακῷ οὔτε τἀγαθὸν τῷ κακῷ φίλον εἶναι,
bad to-the bad nor the-good to-the bad dear to-be
ὥσπερ οὐδ' ὁ ἔμπροσθεν λόγος ἐᾷ· λείπεται δή, εἴπερ
as not-even the before argument allows it-remains indeed if-indeed
τῷ τί ἐστιν φίλον, τὸ μήτε ἀγαθὸν μήτε κακὸν
to-anything anything is dear the neither good nor bad
φίλον εἶναι ἢ τοῦ ἀγαθοῦ ἢ τοῦ τοιούτου οἷον αὐτό
dear to-be either of-the good or of-the such as itself
ἐστιν. οὐ γὰρ ἄν που τῷ κακῷ φίλον ἄν τι γένοιτο. —
is not for — surely to-the bad dear — anything could-become

ἀληθῆ. — οὐδὲ μὴν τὸ ὅμοιον τῷ ὁμοίῳ ἔφαμεν ἄρτι·
true nor indeed the like to-the like we-said just-now
ἦ γάρ; — ναί. — οὐκ ἄρα ἔσται τῷ μήτε ἀγαθῷ
is-it-not for yes not then will-be to-the neither good
μήτε κακῷ τὸ τοιοῦτον φίλον οἷον αὐτό. — οὐ φαίνεται.
nor bad the such dear as itself not it-appears
τῷ ἀγαθῷ ἄρα τὸ μήτε ἀγαθὸν μήτε κακὸν μόνῳ μόνον 217
to-the good then the neither good nor bad alone alone
συμβαίνει γίγνεσθαι φίλον. — ἀνάγκη, ὡς ἔοικεν.
it-happens to-become dear necessity as it-seems
ἆρ' οὖν καὶ καλῶς, ἦν δ' ἐγώ, ὦ παῖδες, ὑφηγεῖται ἡμῖν τὸ b
so then also finely said — I O boys guides us the
νῦν λεγόμενον; εἰ γοῦν θέλοιμεν ἐννοῆσαι τὸ ὑγιαῖνον
now said if at-any-rate we-should-wish to-consider the healthy
σῶμα, οὐδὲν ἰατρικῆς δεῖται οὐδὲ ὠφελίας· ἱκανῶς γὰρ
body nothing of-medicine needs nor of-help sufficiently for
ἔχει, ὥστε ὑγιαίνων οὐδεὶς ἰατρῷ φίλος διὰ τὴν ὑγίειαν.
it-is so-that being-healthy no-one to-a-doctor friend because-of the health
ἦ γάρ; — οὐδείς. — ἀλλ' ὁ κάμνων οἶμαι διὰ τὴν
is-it-not for no-one but the sick-one I-think because-of the
νόσον. — πῶς γὰρ οὔ; — νόσος μὲν δὴ κακόν, ἰατρικὴ
disease how for not disease indeed indeed bad medicine
δὲ ὠφέλιμον καὶ ἀγαθόν. — ναί. — σῶμα δέ γέ
and beneficial and good yes body and at-least
που κατὰ τὸ σῶμα εἶναι οὔτε ἀγαθὸν οὔτε κακόν. —
surely as-to the body to-be neither good nor bad
οὕτως. — ἀναγκάζεται δέ γε σῶμα διὰ νόσον
so is-compelled and at-least body because-of disease
ἰατρικὴν ἀσπάζεσθαι καὶ φιλεῖν. — δοκεῖ μοι. — τὸ μήτε
medicine to-welcome and to-love it-seems to-me the neither
κακὸν ἄρα μήτ' ἀγαθὸν φίλον γίγνεται τοῦ ἀγαθοῦ διὰ
bad then nor good dear becomes of-the good because-of

κακοῦ παρουσίαν. — ἔοικεν. — δῆλον δέ γε ὅτι πρὶν
of-bad presence it-seems clear and at-least that before
γενέσθαι αὐτὸ κακὸν ὑπὸ τοῦ κακοῦ οὗ ἔχει. οὐ γὰρ δή
to-become itself bad by the bad which it-has not for indeed
γε κακὸν γεγονὸς ἔτι ἄν τι τοῦ ἀγαθοῦ ἐπιθυμοῖ καὶ
at-least bad having-become still — anything of-the good would-desire and
φίλον εἴη· ἀδύνατον γὰρ ἔφαμεν κακὸν ἀγαθῷ φίλον εἶναι.
dear would-be impossible for we-said bad to-good dear to-be
d — ἀδύνατον γάρ. — σκέψασθε δὴ ὃ λέγω. λέγω
impossible for consider indeed what I-say I-say
γὰρ ὅτι ἔνια μέν, οἷον ἂν ᾖ τὸ παρόν, τοιαῦτά ἐστι
for that some indeed of-what-sort — be the present such are
καὶ αὐτά, ἔνια δὲ οὔ. ὥσπερ εἰ ἐθέλοι τις χρώματί
also themselves some and not as if should-wish anyone with-color
τῳ ὁτιοῦν ἀλεῖψαι, πάρεστίν που τῷ ἀλειφθέντι
some anything-whatever to-smear is-present surely to-the smeared
τὸ ἐπαλειφθέν. — πάνυ γε. — ἆρ᾽ οὖν καὶ ἔστιν τότε
the smeared-on certainly at-least so then also is then
τοιοῦτον τὴν χρόαν τὸ ἀλειφθέν, οἷον τὸ ἐπόν; — οὐ
such in-the color the smeared as the being-on(-it) not
μανθάνω, ἦ δ᾽ ὅς. — ἀλλ᾽ ὧδε, ἦν δ᾽ ἐγώ. εἴ τίς σου
I-understand said — he but thus said — I if anyone your
ξανθὰς οὔσας τὰς τρίχας ψιμυθίῳ ἀλείψειεν, πότερον
blond being the hairs with-white-lead should-smear whether
τότε λευκαὶ εἶεν ἢ φαίνοιντ᾽ ἄν; — φαίνοιντ᾽
then white would-they-be or would-appear — they-would-appear
ἄν, ἦ δ᾽ ὅς. — καὶ μὴν παρείη γ᾽ ἂν αὐταῖς
— said — he and indeed would-be-present at-least — to-them
λευκότης. — ναί. — ἀλλ᾽ ὅμως οὐδέν τι μᾶλλον ἂν
whiteness yes but nevertheless no at-all more —
εἶεν λευκαί πω, ἀλλὰ παρούσης λευκότητος οὔτε τι
they-would-be white yet but whiteness being-present neither at-all

λευκαὶ οὔτε μέλαιναί εἰσιν. — ἀληθῆ. — ἀλλ᾽ ὅταν δή,
white nor black they-are true but when indeed
ὦ φίλε, τὸ γῆρας αὐταῖς ταὐτὸν τοῦτο χρῶμα ἐπαγάγῃ,
O friend the old-age on-them the-same this color brings
τότε ἐγένοντο οἷόνπερ τὸ παρόν, λευκοῦ παρουσίᾳ λευκαί.
then they-became such-as-very the present of-white by-presence white
— πῶς γὰρ οὔ; — τοῦτο τοίνυν ἐρωτῶ νῦν δή, εἰ
how for not this then I-ask now indeed whether
ᾧ ἄν τι παρῇ, τοιοῦτον ἔσται τὸ ἔχον οἷον τὸ
to-whatever — anything be-present such will-be the having as the
παρόν· ἢ ἐὰν μὲν κατά τινα τρόπον παρῇ, ἔσται, ἐὰν δὲ
present or if indeed in some way it-is-present it-will-be if but
μή, οὔ; — οὕτω μᾶλλον, ἔφη. — καὶ τὸ μήτε κακὸν ἄρα μήτ᾽
not not so rather he-said and the neither bad then nor
ἀγαθὸν ἐνίοτε κακοῦ παρόντος οὔπω κακόν ἐστιν, ἔστιν δ᾽
good sometimes bad being-present not-yet bad is it-is but
ὅτε ἤδη τὸ τοιοῦτον γέγονεν. — πάνυ γε. — οὐκοῦν ὅταν
when already the such it-has-become certainly at-least therefore when
μήπω κακὸν ᾖ κακοῦ παρόντος, αὕτη μὲν ἡ παρουσία
not-yet bad it-is bad being-present this indeed the presence
ἀγαθοῦ αὐτὸ ποιεῖ ἐπιθυμεῖν· ἡ δὲ κακὸν ποιοῦσα ἀποστερεῖ
of-good it makes to-desire the but bad making deprives
αὐτὸ τῆς τε ἐπιθυμίας ἅμα καὶ τῆς φιλίας τοῦ ἀγαθοῦ.
it of-the both desire at-once and of-the friendship of-the good

So neither the wise love wisdom nor those whose ignorance has made them bad, but those who have ignorance and are not yet made senseless by it. Socrates rejoices like a hunter, then suspects they have been rich in a dream. The sick man loves the doctor because of disease, for the sake of health, which is itself dear for the sake of something further. They must reach a first friend for whose sake all others are dear, the others being its images. A father who prizes his son above all prizes the wine that would save him from hemlock, and the cup it is in, only for the son's sake.

218 οὐ γὰρ ἔτι ἐστὶν οὔτε κακὸν οὔτε ἀγαθόν, ἀλλὰ κακόν·
not for any-longer it-is neither bad nor good but bad
φίλον δὲ ἀγαθῷ κακὸν οὐκ ἦν. — οὐ γὰρ οὖν. — διὰ
dear and to-good bad not was not for indeed because-of
ταῦτα δὴ φαῖμεν ἂν καὶ τοὺς ἤδη σοφοὺς μηκέτι
these-things indeed we-would-say — also those already wise no-longer
φιλοσοφεῖν, εἴτε θεοὶ εἴτε ἄνθρωποί εἰσιν οὗτοι· οὐδ' αὖ
to-love-wisdom whether gods or humans are these nor again
ἐκείνους φιλοσοφεῖν τοὺς οὕτως ἄγνοιαν ἔχοντας ὥστε
those to-love-wisdom those so ignorance having as
κακοὺς εἶναι· κακὸν γὰρ καὶ ἀμαθῆ οὐδένα φιλοσοφεῖν.
bad to-be bad for and ignorant no-one to-love-wisdom
λείπονται δὴ οἱ ἔχοντες μὲν τὸ κακὸν τοῦτο, τὴν
remain indeed those having indeed the evil this the
ἄγνοιαν, μήπω δὲ ὑπ' αὐτοῦ ὄντες ἀγνώμονες μηδὲ ἀμαθεῖς,
ignorance not-yet but by it being senseless nor ignorant
ἀλλ' ἔτι ἡγούμενοι μὴ εἰδέναι ἃ μὴ ἴσασιν. διὸ δὴ καὶ
but still thinking not to-know what not they-know wherefore indeed also
φιλοσοφοῦσιν οἱ οὔτε ἀγαθοὶ οὔτε κακοί πω ὄντες, ὅσοι
love-wisdom those neither good nor bad yet being as-many-as
δὲ κακοὶ οὐ φιλοσοφοῦσιν, οὐδὲ οἱ ἀγαθοί· οὔτε γὰρ τὸ
and bad not love-wisdom nor the good neither for the

ἐναντίον τοῦ ἐναντίου οὔτε τὸ ὅμοιον τοῦ ὁμοίου φίλον
opposite of-the opposite nor the like of-the like dear
ἡμῖν ἐφάνη ἐν τοῖς ἔμπροσθεν λόγοις. ἢ οὐ μέμνησθε; —
to-us appeared in the before arguments or not do-you-remember
πάνυ γε, ἐφάτην. — νῦν ἄρα, ἦν δ' ἐγώ, ὦ Λύσι τε
καὶ ἄλλα ἔτι πρὸς τούτοις πάνυ πολλά, ὡς ἐγὼ δοκῶ
and other-things further besides these very many as I seem
μνημονεύειν· καίτοι τό γε μνημονικὸν ἐπελαθόμην σου,
to-remember and-yet the at-least mnemonic I-forgot your
ὡς ἔοικε, τέχνημα, ἐν ᾧ σὺ οἴει λαμπρότατος εἶναι·
as it-seems device in which you think most-brilliant to-be
οἶμαι δὲ καὶ ἄλλα πάμπολλα ἐπιλελῆσθαι.
I-think and also other very-many-things to-have-forgotten
369 ἀλλ' ὅπερ ἐγὼ λέγω, καὶ εἰς τὰς σαυτοῦ τέχνας
but what-very I say both to the your-own arts
βλέψας — ἱκαναὶ δέ — καὶ εἰς τὰς τῶν ἄλλων εἰπέ
having-looked sufficient and also to the of-the others tell
μοι, ἐάν που εὕρῃς ἐκ τῶν ὡμολογημένων ἐμοί τε
me if anywhere you-find from the things-agreed by-me both
καὶ σοί, ὅπου ἐστὶν ὁ μὲν ἀληθής, ὁ δὲ ψευδής,
and you where is the indeed true the-other and false
χωρὶς καὶ οὐχ ὁ αὐτός; ἐν ἥτινι βούλει σοφίᾳ τοῦτο
apart and not the same in whatever you-wish wisdom this
σκέψαι ἢ πανουργίᾳ ἢ ὁτιοῦν χαίρεις ὀνομάζων· ἀλλ'
consider or cunning or whatever you-delight-in naming but
οὐχ εὑρήσεις, ὦ ἑταῖρε — οὐ γὰρ ἔστιν — ἐπεὶ σὺ εἰπέ.
not you-will-find O comrade not for it-is since you say
HIP. ἀλλ' οὐκ ἔχω, ὦ Σώκρατες, νῦν γε οὕτως.
but not I-can O Socrates now at-least thus

SOC. οὐδέ γε ἕξεις, ὡς ἐγὼ οἶμαι· εἰ δ' ἐγὼ ἀληθῆ
nor at-least will-you-be-able as I think if but I true-things
λέγω, μέμνησαι ὃ ἡμῖν συμβαίνει ἐκ τοῦ λόγου, ὦ
say you-remember what to-us follows from the argument O
Ἱππία.
Hippias

HIP. οὐ πάνυ τι ἐννοῶ, ὦ Σώκρατες, ὃ λέγεις.
not very at-all I-see O Socrates what you-mean

SOC. νυνὶ γὰρ ἴσως οὐ χρῇ τῷ μνημονικῷ τεχνήματι — b
now for perhaps not you-use the mnemonic device
δῆλον γὰρ ὅτι οὐκ οἴει δεῖν — ἀλλὰ ἐγώ σε ὑπομνήσω.
clear for that not you-think it-needful but I you will-remind
οἶσθα ὅτι τὸν μὲν Ἀχιλλέα ἔφησθα ἀληθῆ εἶναι, τὸν
you-know that — indeed Achilles you-said true to-be —
δὲ Ὀδυσσέα ψευδῆ καὶ πολύτροπον;
and Odysseus false and versatile

HIP. ναί.
yes

SOC. νῦν οὖν αἰσθάνῃ ὅτι ἀναπέφανται ὁ αὐτὸς ὢν ψευδής
now then do-you-perceive that has-been-shown the same being false
τε καὶ ἀληθής, ὥστε εἰ ψευδὴς ὁ Ὀδυσσεὺς ἦν, καὶ ἀληθὴς
both and true so-that if false — Odysseus was also true
γίγνεται, καὶ εἰ ἀληθὴς ὁ Ἀχιλλεύς, καὶ ψευδής, καὶ οὐ
he-becomes and if true — Achilles also false and not
διάφοροι ἀλλήλων οἱ ἄνδρες οὐδ' ἐναντίοι, ἀλλ' ὅμοιοι;
differing from-one-another the men nor opposite but alike

HIP. ὦ Σώκρατες, ἀεὶ σύ τινας τοιούτους πλέκεις λόγους, c
O Socrates always you some such weave arguments
καὶ ἀπολαμβάνων ὃ ἂν ᾖ δυσχερέστατον τοῦ λόγου,
and taking-up whatever — be most-troublesome of-the argument
τούτου ἔχῃ κατὰ σμικρὸν ἐφαπτόμενος, καὶ οὐχ ὅλῳ
this you-hold by little fastening-on and not with-whole

ἀγωνίζῃ τῷ πράγματι περὶ ὅτου ἂν ὁ λόγος ᾖ· ἐπεὶ
you-contend the matter about which — the argument be since
καὶ νῦν, ἐὰν βούλῃ, ἐπὶ πολλῶν τεκμηρίων ἀποδείξω
also now if you-wish on many proofs I-will-show
σοι ἱκανῷ λόγῳ Ὅμηρον Ἀχιλλέα πεποιηκέναι ἀμείνω
you by-sufficient argument Homer Achilles to-have-made better
Ὀδυσσέως καὶ ἀψευδῆ, τὸν δὲ δολερόν τε καὶ πολλὰ
than-Odysseus and unlying the-other and crafty both and many-things
ψευδόμενον καὶ χείρω Ἀχιλλέως. εἰ δὲ βούλει, σὺ αὖ
lying and worse than-Achilles if but you-wish you in-turn
ἀντιπαράβαλλε λόγον παρὰ λόγον, ὡς ὁ ἕτερος ἀμείνων
set-against speech beside speech that the other better
ἐστί· καὶ μᾶλλον εἴσονται οὗτοι ὁπότερος ἄμεινον λέγει.
is and more will-know these which better speaks
d soc. ὦ Ἱππία, ἐγώ τοι οὐκ ἀμφισβητῶ μὴ οὐχὶ σὲ εἶναι
O Hippias I surely not dispute that — you to-be
σοφώτερον ἢ ἐμέ· ἀλλ᾽ ἀεὶ εἴωθα, ἐπειδάν τις
wiser than me but always I-am-accustomed whenever anyone
λέγῃ τι, προσέχειν τὸν νοῦν, ἄλλως τε καὶ ἐπειδάν
says something to-apply the mind otherwise both and when
μοι δοκῇ σοφὸς εἶναι ὁ λέγων, καὶ ἐπιθυμῶν μαθεῖν ὅτι
to-me he-seems wise to-be the speaker and desiring to-learn what
λέγει διαπυνθάνομαι καὶ ἐπανασκοπῶ καὶ συμβιβάζω τὰ
he-says I-inquire-thoroughly and re-examine and put-together the
λεγόμενα, ἵνα μάθω· ἐὰν δὲ φαῦλος δοκῇ μοι εἶναι ὁ
things-said so-that I-may-learn if but poor he-seems to-me to-be the
λέγων, οὔτε ἐπανερωτῶ οὔτε μοι μέλει ὧν λέγει. καὶ
speaker neither do-I-ask-again nor to-me matters of-what he-says and
γνώσῃ τούτῳ οὓς ἂν ἐγὼ ἡγῶμαι σοφοὺς εἶναι· εὑρήσεις
you-will-know by-this whom — I consider wise to-be you-will-find

γάρ με λιπαρῆ ὄντα περὶ τὰ λεγόμενα ὑπὸ τούτου καὶ
for me persistent being about the things-said by this-one and
πυνθανόμενον παρ᾽ αὐτοῦ, ἵνα μαθών τι ὠφεληθῶ.
inquiring from him so-that having-learned something I-may-be-benefited

IV · ACHILLES' LIES

Socrates notes that Achilles, after declaring he would sail home next day, never prepared to sail, and later told Ajax he would stay until Hector reached the ships. Hippias replies that Achilles lies without intent, forced by the army's plight, while Odysseus lies willingly and by design. Socrates says Achilles must then be the more cunning, contradicting himself before Odysseus without being caught. Hippias calls Achilles' change of mind goodwill, and Socrates points out that they had just found the willing liars better than the unwilling.

SOC. ἐπεὶ καὶ νῦν ἐννενόηκα σοῦ λέγοντος, ὅτι ἐν τοῖς ἔπεσιν 370
since also now I-have-noticed you saying that in the verses
οἷς σὺ ἄρτι ἔλεγες, ἐνδεικνύμενος τὸν Ἀχιλλέα εἰς τὸν
which you just-now said showing — Achilles to —
Ὀδυσσέα λέγειν ὡς ἀλαζόνα ὄντα, ἄτοπόν μοι δοκεῖ εἶναι,
Odysseus to-speak as a-boaster being strange to-me it-seems to-be
εἰ σὺ ἀληθῆ λέγεις, ὅτι ὁ μὲν Ὀδυσσεὺς οὐδαμοῦ φαίνεται
if you true-things say that — indeed Odysseus nowhere appears
ψευσάμενος, ὁ πολύτροπος, ὁ δὲ Ἀχιλλεὺς πολύτροπός
having-lied the versatile — but Achilles versatile

τις φαίνεται κατὰ τὸν σὸν λόγον· ψεύδεται γοῦν.
some appears according-to the your argument he-lies at-any-rate
προειπὼν γὰρ ταῦτα τὰ ἔπη, ἅπερ καὶ σὺ εἶπες ἄρτι —
having-said-before for these the verses which-very also you said just-now

ἐχθρὸς γάρ μοι κεῖνος ὁμῶς Ἀΐδαο πύλῃσιν,
hateful for to-me that-man alike-with of-Hades gates
ὅς χ' ἕτερον μὲν κεύθῃ ἐνὶ φρεσίν, ἄλλο δὲ εἴπῃ,
who — one-thing indeed hides in mind another but says

b ὀλίγον ὕστερον λέγει ὡς οὔτ' ἂν ἀναπεισθείη ὑπὸ τοῦ
little later he-says that neither — would-he-be-persuaded by —
Ὀδυσσέως τε καὶ τοῦ Ἀγαμέμνονος οὔτε μένοι τὸ
Odysseus both and — Agamemnon nor would-remain —
παράπαν ἐν τῇ Τροίᾳ, ἀλλ' —
at-all in — Troy but

αὔριον ἱρὰ Διὶ ῥέξας, φησί, καὶ πᾶσι θεοῖσιν,
tomorrow sacred-things to-Zeus having-done he-says and to-all gods
νηήσας εὖ νῆας, ἐπὴν ἅλαδε προερύσσω,
having-loaded well ships when to-the-sea I-have-dragged-down
ὄψεαι, αἴ κ' ἐθέλῃσθα καὶ αἴ κέν τοι τὰ μεμήλῃ,
you-will-see if — you-wish and if — to-you these-things are-of-concern
ἦρι μάλ' Ἑλλήσποντον ἐπ' ἰχθυόεντα πλεούσας
at-dawn very the-Hellespont upon fishy sailing
c νῆας ἐμάς, ἐν δ' ἄνδρας ἐρεσσέμεναι μεμαῶτας·
ships my in and men to-row eager
εἰ δέ κεν εὐπλοΐην δώῃ κλυτὸς Ἐννοσίγαιος,
if but — fair-voyage should-give renowned Earth-shaker
ἤματί κεν τριτάτῳ Φθίην ἐρίβωλον ἱκοίμην.
on-day — third Phthia fertile I-would-reach

ἔτι δὲ πρότερον τούτων πρὸς τὸν Ἀγαμέμνονα
further and before these to — Agamemnon
λοιδορούμενος εἶπεν —
reviling he-said

νῦν δ' εἶμι Φθίηνδ', ἐπεὶ ἦ πολὺ λώϊόν ἐστιν
now and I-go to-Phthia since truly much better it-is
οἴκαδ' ἴμεν σὺν νηυσὶ κορωνίσιν, οὐδέ σ' ὀίω
homeward to-go with ships curved nor you I-think
ἐνθάδ' ἄτιμος ἐὼν ἄφενος καὶ πλοῦτον ἀφύξειν. d
here unhonored being wealth and riches to-draw-off

ταῦτα εἰπὼν τοτὲ μὲν ἐναντίον τῆς στρατιᾶς ἁπάσης, e
these-things having-said at-one-time indeed before the army whole
τοτὲ δὲ πρὸς τοὺς ἑαυτοῦ ἑταίρους, οὐδαμοῦ φαίνεται
at-another and to the his-own comrades nowhere appears
οὔτε παρασκευασάμενος οὔτ' ἐπιχειρήσας καθέλκειν τὰς
neither having-prepared nor having-attempted to-drag-down the
ναῦς ὡς ἀποπλευσούμενος οἴκαδε, ἀλλὰ πάνυ γενναίως
ships as going-to-sail-away home but very nobly
ὀλιγωρῶν τοῦ τἀληθῆ λέγειν. ἐγὼ μὲν οὖν, ὦ Ἱππία,
disregarding the the-truth to-speak I indeed then O Hippias
καὶ ἐξ ἀρχῆς σε ἠρόμην ἀπορῶν ὁπότερος τούτοιν τοῖν
also from beginning you asked being-at-a-loss which of-these-two the-two
ἀνδροῖν ἀμείνων πεποίηται τῷ ποιητῇ, καὶ ἡγούμενος
men better has-been-made by-the poet and thinking
ἀμφοτέρω ἀρίστω εἶναι καὶ δύσκριτον ὁπότερος ἀμείνων
both best to-be and hard-to-judge which better
εἴη καὶ περὶ ψεύδους καὶ ἀληθείας καὶ τῆς ἄλλης ἀρετῆς·
might-be both about falsehood and truth and the other virtue
ἀμφοτέρω γὰρ καὶ κατὰ τοῦτο παραπλησίω ἐστόν.
both for also in this alike the-two-are

HIP. οὐ γὰρ καλῶς σκοπεῖς, ὦ Σώκρατες. ἃ μὲν
not for finely you-consider O Socrates in-what indeed
γὰρ ὁ Ἀχιλλεὺς ψεύδεται, οὐκ ἐξ ἐπιβουλῆς φαίνεται
for — Achilles lies not from design appears
ψευδόμενος ἀλλ' ἄκων, διὰ τὴν συμφορὰν τὴν τοῦ
lying but unwillingly because-of the misfortune the of-the
στρατοπέδου ἀναγκασθεὶς καταμεῖναι καὶ βοηθῆσαι· ἃ
army compelled to-stay and to-help in-what
δὲ ὁ Ὀδυσσεύς, ἑκών τε καὶ ἐξ ἐπιβουλῆς.
but — Odysseus willingly both and from design
SOC. ἐξαπατᾷς με, ὦ φίλτατε Ἱππία, καὶ αὐτὸς τὸν
you-deceive me O dearest Hippias and yourself —
Ὀδυσσέα μιμῇ.
Odysseus imitate
371 HIP. οὐδαμῶς, ὦ Σώκρατες· λέγεις δὴ τί καὶ πρὸς
in-no-way O Socrates do-you-mean indeed what and toward
τί;
what
b SOC. ὅτι οὐκ ἐξ ἐπιβουλῆς φῂς τὸν Ἀχιλλέα ψεύδεσθαι, ὃς ἦν
that not from design you-say — Achilles to-lie who was
οὕτω γόης καὶ ἐπίβουλος πρὸς τῇ ἀλαζονείᾳ, ὡς πεποίηκεν
so a-sorcerer and designing besides the boastfulness as has-made
Ὅμηρος, ὥστε καὶ τοῦ Ὀδυσσέως τοσοῦτον φαίνεται φρονεῖν
Homer so-that also — than-Odysseus so-much he-appears to-think
πλέον πρὸς τὸ ῥᾳδίως λανθάνειν αὐτὸν ἀλαζονευόμενος, ὥστε
more toward the easily to-escape-notice him boasting so-that
ἐναντίον αὐτοῦ αὐτὸς ἑαυτῷ ἐτόλμα ἐναντία λέγειν καὶ
before him himself to-himself he-dared opposite-things to-say and
ἐλάνθανεν τὸν Ὀδυσσέα· οὐδὲν γοῦν φαίνεται εἰπὼν
he-escaped-the-notice-of — Odysseus nothing at-any-rate appears having-said
πρὸς αὐτὸν ὡς αἰσθανόμενος αὐτοῦ ψευδομένου ὁ Ὀδυσσεύς.
to him as perceiving him lying — Odysseus

HIP. ποῖα δὴ ταῦτα λέγεις, ὦ Σώκρατες;
what-sort indeed these-things do-you-mean O Socrates
SOC. οὐκ οἶσθα ὅτι λέγων ὕστερον ἢ ὡς πρὸς τὸν
not you-know that saying later than as to —
Ὀδυσσέα ἔφη ἅμα τῇ ἠοῖ ἀποπλευσεῖσθαι, πρὸς τὸν
Odysseus he-said at-once with-the dawn to-sail-away to —
Αἴαντα οὐκ αὖ φησιν ἀποπλευσεῖσθαι, ἀλλὰ ἄλλα λέγει;
Ajax not again he-says to-sail-away but other-things he-says
HIP. ποῦ δή;
where indeed
SOC. ἐν οἷς λέγει —
in which he-says

οὐ γὰρ πρὶν πολέμοιο μεδήσομαι αἱματόεντος,
not for before of-war I-will-take-thought bloody
πρίν γ' υἱὸν Πριάμοιο δαΐφρονος, Ἕκτορα δῖον, c
before at-least son of-Priam wise-hearted Hector godlike
Μυρμιδόνων ἐπί τε κλισίας καὶ νῆας ἱκέσθαι
of-Myrmidons to both tents and ships to-reach
κτείνοντ' Ἀργείους, κατά τε φλέξαι πυρὶ νῆας·
slaying Argives down and to-burn with-fire ships
ἀμφὶ δέ μιν τῇ ᾗ κλισίῃ καὶ νηΐ μελαίνῃ
around and him the my tent and ship black
Ἕκτορα καὶ μεμαῶτα μάχης σχήσεσθαι ὀΐω.
Hector though eager of-battle will-be-held-off I-think

σὺ δὴ οὖν, ὦ Ἱππία, πότερον οὕτως ἐπιλήσμονα d
you indeed then O Hippias whether so forgetful
οἴει εἶναι τὸν τῆς Θέτιδός τε καὶ ὑπὸ τοῦ
do-you-think to-be the(-son) — of-Thetis both and by the
σοφωτάτου Χείρωνος πεπαιδευμένον, ὥστε ὀλίγον πρότερον
wisest Chiron educated that little before

λοιδοροῦντα τοὺς ἀλαζόνας τῇ ἐσχάτῃ λοιδορίᾳ αὐτὸν
reviling the boasters with-the utmost reviling himself
παραχρῆμα πρὸς μὲν τὸν Ὀδυσσέα φάναι ἀποπλευσεῖσθαι,
straightway to indeed — Odysseus to-say to-sail-away
πρὸς δὲ τὸν Αἴαντα μενεῖν, ἀλλ' οὐκ ἐπιβουλεύοντά τε
to and — Ajax to-remain but not designing both
καὶ ἡγούμενον ἀρχαῖον εἶναι τὸν Ὀδυσσέα καὶ αὐτοῦ
and thinking simple to-be — Odysseus and him
αὐτῷ τούτῳ τῷ τεχνάζειν τε καὶ ψεύδεσθαι περιέσεσθαι;
by-this very the to-contrive both and to-lie to-get-the-better

e HIP. οὔκουν ἔμοιγε δοκεῖ, ὦ Σώκρατες· ἀλλὰ καὶ αὐτὰ
not-then to-me-at-least it-seems O Socrates but also very
ταῦτα ὑπὸ εὐνοίας ἀναπεισθεὶς πρὸς τὸν Αἴαντα ἄλλα
these-things by goodwill persuaded to — Ajax other-things
εἶπεν ἢ πρὸς τὸν Ὀδυσσέα· ὁ δὲ Ὀδυσσεὺς ἅ
he-said than to — Odysseus — but Odysseus what-things
τε ἀληθῆ λέγει, ἐπιβουλεύσας ἀεὶ λέγει, καὶ ὅσα
both true he-says having-designed always he-says and as-many-as
ψεύδεται, ὡσαύτως.
he-lies likewise

SOC. ἀμείνων ἄρ' ἐστίν, ὡς ἔοικεν, ὁ Ὀδυσσεὺς Ἀχιλλέως.
better then is as it-seems — Odysseus than-Achilles

HIP. ἥκιστά γε δήπου, ὦ Σώκρατες.
least at-least surely O Socrates

SOC. τί δέ; οὐκ ἄρτι ἐφάνησαν οἱ ἑκόντες ψευδόμενοι
what and not just-now appeared the willingly lying
βελτίους ἢ οἱ ἄκοντες;
better than the unwillingly

Hippias protests that the laws treat willing wrongdoers more harshly. Socrates says his one good quality is persistence in asking the wise, and that he often thinks the willing wrongdoer better, though at times the contrary; he begs Hippias to cure his ignorance by answering briefly. Eudicus holds Hippias to his promise, and Hippias, saying Socrates always confuses things, agrees. The good runner runs badly willingly and the bad unwillingly; slowness is bad in a race, so the runner who runs slowly by choice is the better runner.

HIP. καὶ πῶς ἄν, ὦ Σώκρατες, οἱ ἑκόντες ἀδικοῦντες καὶ 372
and how — O Socrates the willingly doing-wrong and
ἑκόντες ἐπιβουλεύσαντες καὶ κακὰ ἐργασάμενοι βελτίους ἂν
willingly having-plotted and evil-things having-done better —
εἶεν τῶν ἀκόντων, οἷς πολλὴ δοκεῖ συγγνώμη εἶναι,
would-be than-the unwilling for-whom much seems indulgence to-be
ἐὰν μὴ εἰδώς τις ἀδικήσῃ ἢ ψεύσηται ἢ ἄλλο τι κακὸν
if not knowing anyone does-wrong or lies or other anything evil
ποιήσῃ; καὶ οἱ νόμοι δήπου πολὺ χαλεπώτεροί εἰσι τοῖς
does and the laws surely much harsher are to-those
ἑκοῦσι κακὰ ἐργαζομένοις καὶ ψευδομένοις ἢ τοῖς ἄκουσιν.
willingly evil-things doing and lying than to-the unwilling
SOC. ὁρᾷς, ὦ Ἱππία, ὅτι ἐγὼ ἀληθῆ λέγω, λέγων ὡς λιπαρής b
you-see O Hippias that I true-things say saying that persistent
εἰμι πρὸς τὰς ἐρωτήσεις τῶν σοφῶν; καὶ κινδυνεύω ἓν μόνον
I-am toward the questionings of-the wise and I-risk one only
ἔχειν τοῦτο ἀγαθόν, τἆλλα ἔχων πάνυ φαῦλα· τῶν μὲν
to-have this good the-other-things having very poor the indeed
γὰρ πραγμάτων ᾗ ἔχει ἔσφαλμαι, καὶ οὐκ οἶδ' ὅπῃ ἐστί.
for matters how they-are I-am-mistaken and not I-know where they-are
τεκμήριον δέ μοι τούτου ἱκανόν, ὅτι ἐπειδὰν συγγένωμαί τῳ
proof and to-me of-this sufficient that whenever I-am-with any

ὑμῶν τῶν εὐδοκιμούντων ἐπὶ σοφίᾳ καὶ οἷς οἱ Ἕλληνες
of-you the well-reputed for wisdom and to-whom the Greeks
πάντες μάρτυρές εἰσι τῆς σοφίας, φαίνομαι οὐδὲν εἰδώς·
all witnesses are of-the wisdom I-appear nothing knowing
οὐδὲν γάρ μοι δοκεῖ τῶν αὐτῶν καὶ ὑμῖν, ὡς ἔπος εἰπεῖν.
nothing for to-me seems of-the same and to-you as a-word to-say
καίτοι τί μεῖζον ἀμαθίας τεκμήριον ἢ ἐπειδάν τις σοφοῖς
and-yet what greater of-ignorance proof than whenever anyone with-wise
ἀνδράσι διαφέρηται; ἓν δὲ τοῦτο θαυμάσιον ἔχω ἀγαθόν, ὅ
men differs one and this wonderful I-have good which
με σῴζει· οὐ γὰρ αἰσχύνομαι μανθάνων, ἀλλὰ πυνθάνομαι
me saves not for I-am-ashamed learning but I-inquire
καὶ ἐρωτῶ καὶ χάριν πολλὴν ἔχω τῷ ἀποκρινομένῳ,
and ask and gratitude much I-have to-the-one answering
καὶ οὐδένα πώποτε ἀπεστέρησα χάριτος. οὐ γὰρ πώποτε
and no-one ever I-deprived of-gratitude not for ever
ἔξαρνος ἐγενόμην μαθών τι, ἐμαυτοῦ ποιούμενος τὸ
denying did-I-become having-learned anything of-myself making the
μάθημα εἶναι ὡς εὕρημα· ἀλλ' ἐγκωμιάζω τὸν διδάξαντά
learning to-be as discovery but I-praise the-one having-taught
με ὡς σοφὸν ὄντα, ἀποφαίνων ἃ ἔμαθον παρ' αὐτοῦ.
me as wise being displaying what I-learned from him
d καὶ δὴ καὶ νῦν ἃ σὺ λέγεις οὐχ ὁμολογῶ σοι,
and indeed also now what you say not I-agree with-you
ἀλλὰ διαφέρομαι πάνυ σφόδρα· καὶ τοῦτ' εὖ οἶδα ὅτι
but I-differ very greatly and this well I-know that
δι' ἐμὲ γίγνεται, ὅτι τοιοῦτός εἰμι οἷόσπερ εἰμί, ἵνα
because-of me it-happens because such I-am as-very I-am so-that
μηδὲν ἐμαυτὸν μεῖζον εἴπω. ἐμοὶ γὰρ φαίνεται, ὦ Ἱππία,
nothing myself greater I-may-say to-me for it-appears O Hippias
πᾶν τοὐναντίον ἢ ὃ σὺ λέγεις· οἱ βλάπτοντες τοὺς
all the-opposite than what you say those harming the

ἀνθρώπους καὶ ἀδικοῦντες καὶ ψευδόμενοι καὶ ἐξαπατῶντες
humans and doing-wrong and lying and deceiving
καὶ ἁμαρτάνοντες ἑκόντες ἀλλὰ μὴ ἄκοντες, βελτίους εἶναι
and erring willingly but not unwillingly better to-be
ἢ οἱ ἄκοντες. ἐνίοτε μέντοι καὶ τοὐναντίον δοκεῖ μοι
than those unwillingly sometimes however also the-opposite seems to-me
τούτων καὶ πλανῶμαι περὶ ταῦτα, δῆλον ὅτι διὰ τὸ
of-these and I-wander about these-things clear that because-of the
μὴ εἰδέναι· νυνὶ δὲ ἐν τῷ παρόντι μοι ὥσπερ κατηβολὴ
not to-know now but in the present to-me like a-fit
περιελήλυθεν, καὶ δοκοῦσί μοι οἱ ἑκόντες ἐξαμαρτάνοντες
has-come-round and seem to-me those willingly erring
περί τι βελτίους εἶναι τῶν ἀκόντων. αἰτιῶμαι δὲ τοῦ
about anything better to-be than-the unwilling I-blame and of-the
νῦν παρόντος παθήματος τοὺς ἔμπροσθεν λόγους αἰτίους
now present affection the before arguments as-causes
εἶναι, ὥστε φαίνεσθαι νῦν ἐν τῷ παρόντι τοὺς ἄκοντας
to-be so-that to-appear now in the present the unwillingly
τούτων ἕκαστα ποιοῦντας πονηροτέρους ἢ τοὺς ἑκόντας.
of-these each doing worse than the willingly
σὺ οὖν χάρισαι καὶ μὴ φθονήσῃς ἰάσασθαι τὴν ψυχήν 373
you then grant and not begrudge to-heal the soul
μου· πολὺ γάρ τοι μεῖζόν με ἀγαθὸν ἐργάσῃ ἀμαθίας
of-me much for surely greater me good you-will-do from-ignorance
παύσας τὴν ψυχὴν ἢ νόσου τὸ σῶμα. μακρὸν μὲν
having-stopped the soul than from-disease the body long indeed
οὖν λόγον εἰ ᾽θέλεις λέγειν, προλέγω σοι ὅτι οὐκ ἄν
then speech if you-wish to-speak I-tell-beforehand you that not —
με ἰάσαιο — οὐ γὰρ ἂν ἀκολουθήσαιμι — ὥσπερ δὲ
me you-could-heal not for — I-would-follow as but
ἄρτι εἰ ᾽θέλεις μοι ἀποκρίνεσθαι, πάνυ ὀνήσεις, οἶμαι
just-now if you-wish to-me to-answer very you-will-benefit I-think

δὲ οὐδ' αὐτὸν σὲ βλαβήσεσθαι. δικαίως δ' ἂν καὶ
and not-even yourself you to-be-harmed justly and — also
σὲ παρακαλοίην, ὦ παῖ Ἀπημάντου· σὺ γάρ με ἐπῆρας
you I-would-call-on O son of-Apemantus you for me urged
Ἱππίᾳ διαλέγεσθαι, καὶ νῦν, ἐὰν μή μοι ἐθέλῃ Ἱππίας
to-Hippias to-converse and now if not to-me is-willing Hippias
ἀποκρίνεσθαι, δέου αὐτοῦ ὑπὲρ ἐμοῦ.
to-answer ask him on-behalf-of me

b EUD. ἀλλ', ὦ Σώκρατες, οἶμαι οὐδὲν δεήσεσθαι Ἱππίαν
but O Socrates I-think not-at-all will-need Hippias
τῆς ἡμετέρας δεήσεως· οὐ γὰρ τοιαῦτα αὐτῷ ἐστι
of-the our asking not for such for-him are
τὰ προειρημένα, ἀλλ' ὅτι οὐδενὸς ἂν φύγοι ἀνδρὸς
the things-said-before but that of-no — would-he-flee man
ἐρώτησιν. ἦ γάρ, ὦ Ἱππία; οὐ ταῦτα ἦν ἃ ἔλεγες;
questioning is-it-not for O Hippias not these-things were what you-said

HIP. ἔγωγε· ἀλλὰ Σωκράτης, ὦ Εὔδικε, ἀεὶ ταράττει ἐν
I-at-least but Socrates O Eudicus always confuses in
τοῖς λόγοις καὶ ἔοικεν ὥσπερ κακουργοῦντι.
the arguments and seems like one-doing-mischief

SOC. ὦ βέλτιστε Ἱππία, οὔτι ἑκών γε ταῦτα ἐγὼ
O best Hippias not-at-all willingly at-least these-things I
ποιῶ — σοφὸς γὰρ ἂν ἦ καὶ δεινὸς κατὰ τὸν σὸν
do wise for — I-would-be and clever according-to the your
λόγον — ἀλλὰ ἄκων, ὥστε μοι συγγνώμην ἔχε· φὴς γὰρ
argument but unwillingly so-that to-me indulgence have you-say for
αὖ δεῖν, ὃς ἂν κακουργῇ ἄκων, συγγνώμην ἔχειν.
again to-be-needful whoever — does-mischief unwillingly indulgence to-have

EUD. καὶ μηδαμῶς γε, ὦ Ἱππία, ἄλλως ποίει, ἀλλὰ c
and in-no-way at-least O Hippias otherwise do but
καὶ ἡμῶν ἕνεκα καὶ τῶν προειρημένων σοι λόγων
both of-us for-the-sake and of-the said-before by-you arguments
ἀποκρίνου ἃ ἄν σε ἐρωτᾷ Σωκράτης.
answer what — you asks Socrates
HIP. ἀλλ' ἀποκρινοῦμαι, σοῦ γε δεομένου. ἀλλ' ἐρώτα
but I-will-answer you at-least asking but ask
ὅτι βούλει.
whatever you-wish
SOC. καὶ μὴν σφόδρα γε ἐπιθυμῶ, ὦ Ἱππία, διασκέψασθαι
and indeed greatly at-least I-desire O Hippias to-examine-thoroughly
τὸ νυνδὴ λεγόμενον, πότεροί ποτε ἀμείνους, οἱ ἑκόντες ἢ οἱ
the just-now said which ever better the willingly or the
ἄκοντες ἁμαρτάνοντες. οἶμαι οὖν ἐπὶ τὴν σκέψιν ὀρθότατ'
unwillingly erring I-think then to the inquiry most-rightly
ἂν ὧδε ἐλθεῖν. ἀλλ' ἀπόκριναι· καλεῖς τινα δρομέα ἀγαθόν;
— thus to-go but answer do-you-call some runner good
HIP. ἔγωγε. d
I-at-least
SOC. καὶ κακόν;
and bad
HIP. ναί.
yes
SOC. οὐκοῦν ἀγαθὸς μὲν ὁ εὖ θέων, κακὸς δὲ ὁ
therefore good indeed the-one well running bad and the-one
κακῶς;
badly
HIP. ναί.
yes

SOC. οὐκοῦν ὁ βραδέως θέων κακῶς θεῖ, ὁ δὲ
therefore the-one slowly running badly runs the-one and
ταχέως εὖ;
quickly well

HIP. ναί.
yes

SOC. ἐν δρόμῳ μὲν ἄρα καὶ τῷ θεῖν τάχος μὲν ἀγαθόν,
in race indeed then and the to-run speed indeed good
βραδυτὴς δὲ κακόν;
slowness and bad

HIP. ἀλλὰ τί μέλλει;
but what is-it-likely

SOC. πότερος οὖν ἀμείνων δρομεύς, ὁ ἑκὼν βραδέως
which then better runner the-one willingly slowly
θέων ἢ ὁ ἄκων;
running or the-one unwillingly

HIP. ὁ ἑκών.
the-one willingly

SOC. ἆρ' οὖν οὐ ποιεῖν τί ἐστι τὸ θεῖν;
so then not to-do something is the to-run

HIP. ποιεῖν μὲν οὖν.
to-do indeed then

e SOC. εἰ δὲ ποιεῖν, οὐ καὶ ἐργάζεσθαί τι;
if and to-do not also to-work something

HIP. ναί.
yes

SOC. ὁ κακῶς ἄρα θέων κακὸν καὶ αἰσχρὸν ἐν δρόμῳ
the-one badly then running bad and shameful in race
τοῦτο ἐργάζεται;
this works

HIP. κακόν· πῶς γὰρ οὔ;
bad how for not

SOC. κακῶς δὲ θεῖ ὁ βραδέως θέων;
badly and runs the-one slowly running
HIP. ναί.
yes
SOC. οὐκοῦν ὁ μὲν ἀγαθὸς δρομεὺς ἑκὼν τὸ κακὸν τοῦτο
therefore the indeed good runner willingly the bad this
ἐργάζεται καὶ τὸ αἰσχρόν, ὁ δὲ κακὸς ἄκων;
works and the shameful the and bad unwillingly
HIP. ἔοικέν γε.
it-seems at-least

VI · THE GOOD MAN ERRS WILLINGLY

The same holds in wrestling, in the body's strength and grace, and in the voice; one would choose feet that limp willingly, eyes that see dimly by choice, a horse's or dog's soul, an archer's or doctor's or musician's, that errs willingly, and slaves who do wrong willingly. So our own souls would be better if they erred willingly. Justice is power or knowledge or both, so the abler and wiser soul is more just, and does wrong willingly when it does wrong. Then the willing wrongdoer, if there is one, is the good man. Neither can accept it; Socrates wanders, but it is terrible if the wise wander too.

SOC. ἐν δρόμῳ μὲν ἄρα πονηρότερος ὁ ἄκων κακὰ 374
in race indeed then worse the-one unwillingly evil-things
ἐργαζόμενος ἢ ὁ ἑκών;
doing than the-one willingly
HIP. ἐν δρόμῳ γε.
in race at-least
SOC. τί δ' ἐν πάλῃ; πότερος παλαιστὴς ἀμείνων, ὁ
what and in wrestling which wrestler better the-one
ἑκὼν πίπτων ἢ ὁ ἄκων;
willingly falling or the-one unwillingly

HIP. ὁ ἑκών, ὡς ἔοικεν.
the-one willingly as it-seems

SOC. πονηρότερον δὲ καὶ αἴσχιον ἐν πάλῃ τὸ πίπτειν ἢ
worse but and more-shameful in wrestling the to-fall or
τὸ καταβάλλειν;
the to-throw

HIP. τὸ πίπτειν.
the to-fall

SOC. καὶ ἐν πάλῃ ἄρα ὁ ἑκὼν τὰ πονηρὰ καὶ αἰσχρὰ
also in wrestling then the-one willingly the bad-things and shameful-things
ἐργαζόμενος βελτίων παλαιστὴς ἢ ὁ ἄκων.
doing better wrestler than the-one unwillingly

HIP. ἔοικεν.
it-seems

b SOC. τί δὲ ἐν τῇ ἄλλῃ πάσῃ τῇ τοῦ σώματος χρείᾳ; οὐχ
what and in the other all the of-the body use not
ὁ βελτίων τὸ σῶμα δύναται ἀμφότερα ἐργάζεσθαι, καὶ
the-one better in-the body can both to-do both
τὰ ἰσχυρὰ καὶ τὰ ἀσθενῆ, καὶ τὰ αἰσχρὰ καὶ τὰ καλά·
the strong-things and the weak-things and the shameful-things and the fine-things
ὥστε ὅταν κατὰ τὸ σῶμα πονηρὰ ἐργάζηται, ἑκὼν ἐργάζεται
so-that when as-to the body bad-things he-does willingly does
ὁ βελτίων τὸ σῶμα, ὁ δὲ πονηρότερος ἄκων;
the better in-the body the-one but worse unwillingly

HIP. ἔοικεν καὶ τὰ κατὰ τὴν ἰσχὺν οὕτως ἔχειν.
it-seems also the as-to the strength so to-be

SOC. τί δὲ κατ᾽ εὐσχημοσύνην, ὦ Ἱππία; οὐ τοῦ βελτίονος
what and as-to gracefulness O Hippias not of-the better
σώματός ἐστιν ἑκόντος τὰ αἰσχρὰ καὶ πονηρὰ σχήματα
body is-it willingly the shameful and bad postures

σχηματίζειν, τοῦ δὲ πονηροτέρου ἄκοντος; ἢ πῶς σοι
to-assume of-the but worse unwillingly or how to-you
δοκεῖ;
does-it-seem

HIP. οὕτως.
so

SOC. καὶ ἀσχημοσύνη ἄρα ἡ μὲν ἑκούσιος πρὸς ἀρετῆς c
and gracelessness then the-one indeed willing proper-to virtue
ἐστιν, ἡ δὲ ἀκούσιος πρὸς πονηρίας σώματος.
is the-other and unwilling proper-to badness of-body

HIP. φαίνεται.
it-appears

SOC. τί δὲ φωνῆς πέρι λέγεις; ποτέραν φὴς εἶναι
what and voice about do-you-say which do-you-say to-be
βελτίω, τὴν ἑκουσίως ἀπᾴδουσαν ἢ τὴν ἀκουσίως;
better the-one willingly singing-off-key or the-one unwillingly

HIP. τὴν ἑκουσίως.
the-one willingly

SOC. μοχθηροτέραν δὲ τὴν ἀκουσίως;
worse and the-one unwillingly

HIP. ναί.
yes

SOC. δέξαιο δ' ἂν πότερον τἀγαθὰ κεκτῆσθαι ἢ τὰ
would-you-choose and — whether the-goods to-possess or the
κακά;
evils

HIP. τἀγαθά.
the-goods

SOC. πότερον οὖν ἂν δέξαιο πόδας κεκτῆσθαι ἑκουσίως
whether then — would-you-choose feet to-possess willingly
χωλαίνοντας ἢ ἀκουσίως;
limping or unwillingly

d HIP. ἑκουσίως.
willingly

SOC. χωλεία δὲ ποδῶν οὐχὶ πονηρία καὶ ἀσχημοσύνη ἐστίν;
lameness and of-feet not badness and gracelessness is

HIP. ναί.
yes

SOC. τί δέ; ἀμβλυωπία οὐ πονηρία ὀφθαλμῶν;
what and dim-sightedness not badness of-eyes

HIP. ναί.
yes

SOC. ποτέρους οὖν ἂν βούλοιο ὀφθαλμοὺς κεκτῆσθαι καὶ
which then — would-you-wish eyes to-possess and
ποτέροις συνεῖναι; οἷς ἑκὼν ἄν τις ἀμβλυώττοι καὶ
with-which to-live with-which willingly — anyone should-see-dimly and
παρορῴη ἢ οἷς ἄκων;
see-wrongly or with-which unwillingly

HIP. οἷς ἑκών.
with-which willingly

SOC. βελτίω ἄρα ἥγησαι τῶν σαυτοῦ τὰ ἑκουσίως
better then have-you-considered of-the your-own the willingly
πονηρὰ ἐργαζόμενα ἢ τὰ ἀκουσίως;
bad-things doing than the unwillingly

HIP. τὰ γοῦν τοιαῦτα.
the at-any-rate such

e SOC. οὐκοῦν πάντα, οἷον καὶ ὦτα καὶ ῥῖνας καὶ στόμα
therefore all such-as both ears and noses and mouth
καὶ πάσας τὰς αἰσθήσεις, εἷς λόγος συνέχει, τὰς μὲν
and all the senses one argument holds-together the-ones indeed
ἀκόντως κακὰ ἐργαζομένας ἀκτήτους εἶναι ὡς πονηρὰς
unwillingly evil-things doing not-to-be-acquired to-be as bad
οὔσας, τὰς δὲ ἑκουσίως κτητὰς ὡς ἀγαθὰς οὔσας.
being the-ones and willingly to-be-acquired as good being

HIP. ἔμοιγε δοκεῖ.
to-me-at-least it-seems

SOC. τί δέ; ὀργάνων ποτέρων βελτίων ἡ κοινωνία,
what and of-instruments which better the partnership
οἷς ἑκών τις κακὰ ἐργάζεται ἢ οἷς ἄκων;
with-which willingly anyone evil-things does or with-which unwillingly
οἷον πηδάλιον ᾧ ἄκων κακῶς τις κυβερνήσει
such-as rudder with-which unwillingly badly anyone will-steer
βέλτιον ἢ ᾧ ἑκών;
better or with-which willingly

HIP. ᾧ ἑκών.
with-which willingly

SOC. οὐ καὶ τόξον ὡσαύτως καὶ λύρα καὶ αὐλοὶ καὶ
not also bow likewise and lyre and flutes and
τἆλλα σύμπαντα;
the-other-things all-together

HIP. ἀληθῆ λέγεις. 375
true-things you-say

SOC. τί δέ; ψυχὴν κεκτῆσθαι ἵππου, ᾗ ἑκών τις
what and soul to-possess of-a-horse with-which willingly anyone
κακῶς ἱππεύσει, ἄμεινον ἢ ᾗ ἄκων;
badly will-ride better or with-which unwillingly

HIP. ᾗ ἑκών.
with-which willingly

SOC. ἀμείνων ἄρα ἐστίν.
better then it-is

HIP. ναί.
yes

SOC. τῇ ἀμείνονι ἄρα ψυχῇ ἵππου τὰ τῆς ψυχῆς ἔργα
with-the better then soul of-a-horse the of-the soul works
ταύτης τὰ πονηρὰ ἑκουσίως ἂν ποιοῖ, τῇ δὲ τῆς
of-this the bad willingly — one-would-do with-the and of-the
πονηρᾶς ἀκουσίως;
bad unwillingly

HIP. πάνυ γε.
certainly at-least

SOC. οὐκοῦν καὶ κυνὸς καὶ τῶν ἄλλων ζῴων πάντων;
therefore also of-dog and of-the other animals all

HIP. ναί.
yes

b SOC. τί δὲ δή; ἀνθρώπου ψυχὴν ἐκτῆσθαι τοξότου
what and indeed of-a-human soul to-have-acquired of-an-archer
ἄμεινόν ἐστιν, ἥτις ἑκουσίως ἁμαρτάνει τοῦ σκοποῦ, ἢ
better is which willingly misses the mark or
ἥτις ἀκουσίως;
which unwillingly

HIP. ἥτις ἑκουσίως.
which willingly

SOC. οὐκοῦν καὶ αὕτη ἀμείνων εἰς τοξικήν ἐστιν;
therefore also this better for archery is

HIP. ναί.
yes

SOC. καὶ ψυχὴ ἄρα ἀκουσίως ἁμαρτάνουσα πονηροτέρα ἢ
and soul then unwillingly erring worse than
ἑκουσίως;
willingly

HIP. ἐν τοξικῇ γε.
in archery at-least

SOC. τί δ' ἐν ἰατρικῇ; οὐχὶ ἡ ἑκοῦσα κακὰ ἐργαζομένη
what and in medicine not the willingly evil-things doing
περὶ τὰ σώματα ἰατρικωτέρα;
about the bodies more-medical

HIP. ναί.
yes

SOC. ἀμείνων ἄρα αὕτη ἐν ταύτῃ τῇ τέχνῃ τῆς μὴ.
better then this in this the art than-the not

HIP. ἀμείνων.
better

SOC. τί δέ; ἡ κιθαριστικωτέρα καὶ αὐλητικωτέρα καὶ c
what and the more-lyre-skilled and more-flute-skilled and
τἆλλα πάντα τὰ κατὰ τὰς τέχνας τε καὶ τὰς
the-other-things all the as-to the arts both and the
ἐπιστήμας, οὐχὶ ἡ ἀμείνων ἑκοῦσα τὰ κακὰ ἐργάζεται καὶ
knowledges not the better willingly the evil-things does and
τὰ αἰσχρὰ καὶ ἐξαμαρτάνει, ἡ δὲ πονηροτέρα ἄκουσα;
the shameful-things and errs the and worse unwillingly

HIP. φαίνεται.
it-appears

SOC. ἀλλὰ μήν που τάς γε τῶν δούλων ψυχὰς κεκτῆσθαι
but indeed surely the at-least of-the slaves souls to-possess
δεξαίμεθ' ἂν μᾶλλον τὰς ἑκουσίως ἢ τὰς ἀκουσίως
would-we-choose — rather the willingly than the unwillingly
ἁμαρτανούσας τε καὶ κακουργούσας, ὡς ἀμείνους οὔσας
erring both and doing-mischief as better being
εἰς ταῦτα.
for these-things

HIP. ναί.
yes

SOC. τί δέ; τὴν ἡμετέραν αὐτῶν οὐ βουλοίμεθ' ἂν ὡς
what and the our own not would-we-wish — as
βελτίστην ἐκτῆσθαι;
best to-have-acquired

d HIP. ναί.
yes

SOC. οὐκοῦν βελτίων ἔσται, ἐὰν ἑκοῦσα κακουργῇ τε καὶ
therefore better will-it-be if willingly it-does-mischief both and
ἐξαμαρτάνῃ, ἢ ἐὰν ἄκουσα;
errs than if unwillingly

HIP. δεινὸν μεντἂν εἴη, ὦ Σώκρατες, εἰ οἱ ἑκόντες
terrible however-would be O Socrates if the willingly
ἀδικοῦντες βελτίους ἔσονται ἢ οἱ ἄκοντες.
doing-wrong better will-be than the unwillingly

SOC. ἀλλὰ μὴν φαίνονταί γε ἐκ τῶν εἰρημένων.
but indeed they-appear at-least from the things-said

HIP. οὔκουν ἔμοιγε.
not-then to-me-at-least

e SOC. ἐγὼ δ' ᾠμην, ὦ Ἱππία, καὶ σοὶ φανῆναι. πάλιν
I and thought O Hippias also to-you to-appear again
δ' ἀπόκριναι· ἡ δικαιοσύνη οὐχὶ ἢ δύναμίς τίς ἐστιν
and answer the justice not either power some is
ἢ ἐπιστήμη ἢ ἀμφότερα; ἢ οὐκ ἀνάγκη ἕν γέ τι
or knowledge or both or not necessity one at-least some
τούτων εἶναι τὴν δικαιοσύνην;
of-these to-be the justice

HIP. ναί.
yes

SOC. οὐκοῦν εἰ μὲν δύναμίς ἐστι τῆς ψυχῆς ἡ δικαιοσύνη,
therefore if indeed power it-is of-the soul the justice
ἡ δυνατωτέρα ψυχὴ δικαιοτέρα ἐστί; βελτίων γάρ που
the abler soul more-just is better for surely
ἡμῖν ἐφάνη, ὦ ἄριστε, ἡ τοιαύτη.
to-us appeared O best the such
HIP. ἐφάνη γάρ.
it-appeared for
SOC. τί δ' εἰ ἐπιστήμη; οὐχ ἡ σοφωτέρα ψυχὴ δικαιοτέρα,
what and if knowledge not the wiser soul more-just
ἡ δὲ ἀμαθεστέρα ἀδικωτέρα;
the and more-ignorant more-unjust
HIP. ναί.
yes
SOC. τί δ' εἰ ἀμφότερα; οὐχ ἡ ἀμφοτέρας ἔχουσα,
what and if both not the-one both having
ἐπιστήμην καὶ δύναμιν, δικαιοτέρα, ἡ δ' ἀμαθεστέρα
knowledge and power more-just the and more-ignorant
ἀδικωτέρα; οὐχ οὕτως ἀνάγκη ἔχειν;
more-unjust not so necessity to-be
HIP. φαίνεται.
it-appears
SOC. οὐκοῦν ἡ δυνατωτέρα καὶ σοφωτέρα αὕτη ἀμείνων 376
therefore the abler and wiser this better
οὖσα ἐφάνη καὶ ἀμφότερα μᾶλλον δυναμένη ποιεῖν, καὶ
being appeared and both-things more able to-do both
τὰ καλὰ καὶ τὰ αἰσχρά, περὶ πᾶσαν ἐργασίαν;
the fine-things and the shameful-things about every work
HIP. ναί.
yes

SOC. ὅταν ἄρα τὰ αἰσχρὰ ἐργάζηται, ἑκοῦσα ἐργάζεται
when then the shameful-things it-does willingly it-does
διὰ δύναμιν καὶ τέχνην· ταῦτα δὲ δικαιοσύνης φαίνεται,
because-of power and art these-things and of-justice appear
ἤτοι ἀμφότερα ἢ τὸ ἕτερον.
either both or the one

HIP. ἔοικεν.
it-seems

SOC. καὶ τὸ μέν γε ἀδικεῖν κακὰ ποιεῖν ἐστιν, τὸ δὲ
and the indeed at-least to-do-wrong evil-things to-do is the and
μὴ ἀδικεῖν καλά.
not to-do-wrong fine-things

HIP. ναί.
yes

SOC. οὐκοῦν ἡ δυνατωτέρα καὶ ἀμείνων ψυχή, ὅταν περ
therefore the abler and better soul whenever
ἀδικῇ, ἑκοῦσα ἀδικήσει, ἡ δὲ πονηρὰ ἄκουσα;
it-does-wrong willingly will-do-wrong the but bad unwillingly

HIP. φαίνεται.
it-appears

b SOC. οὐκοῦν ἀγαθὸς ἀνὴρ ὁ τὴν ἀγαθὴν ψυχὴν ἔχων,
therefore good man the-one the good soul having
κακὸς δὲ ὁ τὴν κακήν;
bad and the-one the bad

HIP. ναί.
yes

SOC. ἀγαθοῦ μὲν ἄρα ἀνδρός ἐστιν ἑκόντα ἀδικεῖν, κακοῦ
of-good indeed then man it-is willingly to-do-wrong of-bad
δὲ ἄκοντα, εἴπερ ὁ ἀγαθὸς ἀγαθὴν ψυχὴν ἔχει.
and unwillingly if-indeed the good good soul has

HIP. ἀλλὰ μὴν ἔχει γε.
but indeed he-has at-least

SOC. ὁ ἄρα ἑκὼν ἁμαρτάνων καὶ αἰσχρὰ καὶ ἄδικα
the-one then willingly erring and shameful-things and unjust-things
ποιῶν, ὦ Ἱππία, εἴπερ τίς ἐστιν οὗτος, οὐκ ἂν ἄλλος
doing O Hippias if-indeed any is this-one not — other
εἴη ἢ ὁ ἀγαθός.
would-be than the good

HIP. οὐκ ἔχω ὅπως σοι συγχωρήσω, ὦ Σώκρατες, ταῦτα.
not I-can how to-you I-shall-concede O Socrates these-things

SOC. οὐδὲ γὰρ ἐγὼ ἐμοί, ὦ Ἱππία· ἀλλ' ἀναγκαῖον οὕτω c
nor for I to-myself O Hippias but necessary so
φαίνεσθαι νῦν γε ἡμῖν ἐκ τοῦ λόγου. ὅπερ μέντοι
to-appear now at-least to-us from the argument which-very however
πάλαι ἔλεγον, ἐγὼ περὶ ταῦτα ἄνω καὶ κάτω πλανῶμαι
long-ago I-said I about these-things up and down wander
καὶ οὐδέποτε ταὐτά μοι δοκεῖ. καὶ ἐμὲ μὲν οὐδὲν
and never the-same-things to-me seem and me indeed nothing
θαυμαστὸν πλανᾶσθαι οὐδὲ ἄλλον ἰδιώτην· εἰ δὲ καὶ
wonderful to-wander nor other layman if but also
ὑμεῖς πλανήσεσθε οἱ σοφοί, τοῦτο ἤδη καὶ ἡμῖν δεινὸν
you will-wander the wise this already also for-us terrible
εἰ μηδὲ παρ' ὑμᾶς ἀφικόμενοι παυσόμεθα τῆς πλάνης.
if not-even to you having-come we-shall-cease from-the wandering

PLATO

ΑΛΚΙΒΙΑΔΗΣ ΔΕΥΤΕΡΟΣ

Second Alcibiades

Socrates meets Alcibiades on his way to pray and warns him that the gods sometimes grant prayers that ruin the one who prays, as Oedipus prayed that his sons divide their inheritance by the sword. Alcibiades says only a madman would pray so. Socrates argues that madness is the opposite of wisdom, and since a man is either wise or foolish, folly and madness seem the same. But if all fools were mad, most Athenians would be, and they could not live among them unharmed. Socrates proposes another approach: not every disease is ophthalmia, though every ophthalmia is a disease.

SOC. ὦ Ἀλκιβιάδη, ἆρά γε πρὸς τὸν θεὸν προσευξόμενος 138
O Alcibiades then at-least to the god going-to-pray
πορεύῃ;
are-you-going
ALC. πάνυ μὲν οὖν, ὦ Σώκρατες.
certainly indeed then O Socrates
SOC. φαίνῃ γέ τοι ἐσκυθρωπακέναι τε καὶ εἰς γῆν
you-appear at-least surely to-have-been-gloomy both and to ground
βλέπειν, ὥς τι συννοούμενος.
to-look as something pondering
ALC. καὶ τί ἄν τις συννοοῖτο, ὦ Σώκρατες;
and what — anyone would-ponder O Socrates
SOC. τὴν μεγίστην, ὦ Ἀλκιβιάδη, σύννοιαν, ὥς γ' ἐμοὶ b
the greatest O Alcibiades pondering as at-least to-me
δοκεῖ. ἐπεὶ φέρε πρὸς Διός, οὐκ οἴει τοὺς θεούς,
it-seems since come by Zeus not do-you-think the gods
ἃ τυγχάνομεν εὐχόμενοι καὶ ἰδίᾳ καὶ δημοσίᾳ,
what-things we-happen praying both privately and publicly
ἐνίοτε τούτων τὰ μὲν διδόναι, τὰ δ' οὔ, καὶ ἔστιν
sometimes of-these the-ones indeed to-give the-others and not and there-are
οἷς μὲν αὐτῶν, ἔστι δ' οἷς οὔ;
to-whom indeed of-them there-are and to-whom not

ALC. πάνυ μὲν οὖν.
certainly indeed then

c SOC. οὐκοῦν δοκεῖ σοι πολλῆς προμηθείας γε
therefore does-it-seem to-you much forethought at-least
προσδεῖσθαι, ὅπως μὴ λήσεται αὐτὸν εὐχόμενος
to-need-besides so-that not he-will-escape-the-notice-of himself praying-for
μεγάλα κακά, δοκῶν δ' ἀγαθά, οἱ δὲ θεοὶ τύχωσιν
great evils thinking-them but goods the and gods happen
ἐν ταύτῃ ὄντες τῇ ἕξει, ἐν ᾗ διδόασιν αὐτοὶ ἅ
in this being the condition in which they-give themselves what-things
τις εὐχόμενος τυγχάνει; ὥσπερ τὸν Οἰδίπουν αὐτίκα
anyone praying happens as — Oedipus for-instance
φασὶν εὔξασθαι χαλκῷ διελέσθαι τὰ πατρῷα τοὺς υἱεῖς·
they-say to-have-prayed with-bronze to-divide the paternal-things the sons
ἐξὸν αὐτῷ τῶν παρόντων αὐτῷ κακῶν ἀποτροπήν
it-being-possible for-him of-the present to-him evils averting
τινα εὔξασθαι, ἕτερα πρὸς τοῖς ὑπάρχουσιν κατηρᾶτο·
some to-pray-for other-things besides the existing he-cursed
τοιγαροῦν ταῦτά τε ἐξετελέσθη, καὶ ἐκ τούτων ἄλλα
therefore these-things both were-accomplished and from these other-things
πολλὰ καὶ δεινά, ἃ τί δεῖ καθ' ἕκαστα λέγειν;
many and terrible which why it-is-needful in particular to-tell
ALC. ἀλλὰ σὺ μέν, ὦ Σώκρατες, μαινόμενον ἄνθρωπον
but you indeed O Socrates a-mad man
εἴρηκας· ἐπεὶ τίς ἄν σοι δοκεῖ τολμῆσαι ὑγιαίνων τοιαῦτ'
have-spoken-of since who — to-you seems to-have-dared being-sane such-things
εὔξασθαι;
to-pray-for
SOC. τὸ μαίνεσθαι ἆρά γε ὑπεναντίον σοι δοκεῖ τῷ
the to-be-mad then at-least opposite to-you seems to-the
φρονεῖν;
to-be-prudent

ALC. πάνυ μὲν οὖν.
certainly indeed then

SOC. ἄφρονες δὲ καὶ φρόνιμοι δοκοῦσιν ἄνθρωποι εἶναι d
foolish but and prudent seem humans to-be
τινές σοι;
some to-you

ALC. εἶναι μέντοι.
to-be indeed

SOC. φέρε δή, ἐπισκεψώμεθα τίνες ποτ' εἰσὶν οὗτοι. ὅτι
come indeed let-us-examine who ever are these that
μὲν γάρ εἰσί τινες, ὡμολόγηται, ἄφρονές τε καὶ
indeed for there-are some has-been-agreed foolish both and
φρόνιμοι, καὶ μαινόμενοι ἕτεροι.
prudent and mad others

ALC. ὡμολόγηται γάρ.
it-has-been-agreed for

SOC. ἔτι δὲ ὑγιαίνοντές εἰσί τινες;
further and healthy are some

ALC. εἰσίν.
there-are

SOC. οὐκοῦν καὶ ἀσθενοῦντες ἕτεροι;
therefore also sick others

ALC. πάνυ γε. 139
certainly at-least

SOC. οὐκοῦν οὐχ οἱ αὐτοί;
therefore not the same

ALC. οὐ γάρ.
not for

SOC. ἆρ' οὖν καὶ ἕτεροί τινές εἰσιν, οἳ μηδέτερα τούτων
so then also others some are who neither of-these
πεπόνθασιν;
have-experienced

ALC. οὐ δῆτα.

not indeed

SOC. ἀνάγκη γάρ ἐστιν ἄνθρωπον ὄντα ἢ νοσεῖν ἢ μὴ
necessity for it-is a-human being either to-be-sick or not
νοσεῖν.
to-be-sick

ALC. ἔμοιγε δοκεῖ.

to-me-at-least it-seems

SOC. τί δέ; περὶ φρονήσεως καὶ ἀφροσύνης ἆρά γε τὴν
what and about prudence and folly then at-least the
αὐτὴν ἔχεις σὺ γνώμην;
same have you opinion

ALC. πῶς λέγεις;

how do-you-mean

b SOC. εἰ δοκεῖ σοι οἷόν τε εἶναι ἢ φρόνιμον ἢ
whether it-seems to-you possible — to-be either prudent or
ἄφρονα, ἢ ἔστι τι διὰ μέσου τρίτον πάθος, ὃ ποιεῖ
foolish or is-there some between middle third condition which makes
τὸν ἄνθρωπον μήτε φρόνιμον μήτε ἄφρονα;
the human neither prudent nor foolish

ALC. οὐ δῆτα.

not indeed

SOC. ἀνάγκη ἄρ' ἐστὶ τὸ ἕτερον τούτων πεπονθέναι.
necessity then it-is the one of-these to-have-experienced

ALC. ἔμοιγε δοκεῖ.

to-me-at-least it-seems

SOC. οὐκοῦν μέμνησαι ὁμολογήσας ὑπεναντίον εἶναι μανίαν
therefore do-you-remember having-agreed opposite to-be madness
φρονήσει;
to-prudence

ALC. ἔγωγε.

I-at-least

SOC. οὐκοῦν καὶ μηδὲν εἶναι διὰ μέσου τρίτον πάθος, ὃ
therefore also nothing to-be between middle third condition which
ποιεῖ τὸν ἄνθρωπον μήτε φρόνιμον μήτε ἄφρονα εἶναι;
makes the human neither prudent nor foolish to-be

ALC. ὡμολόγησα γάρ.
I-agreed for

SOC. καὶ μὴν δύο γε ὑπεναντία ἐνὶ πράγματι πῶς ἂν
and indeed two at-least opposites to-one thing how —
εἴη;
could-there-be

ALC. οὐδαμῶς.
in-no-way

SOC. ἀφροσύνη ἄρα καὶ μανία κινδυνεύει ταὐτὸν εἶναι. c
folly then and madness risks the-same to-be

ALC. φαίνεται.
it-appears

SOC. πάντας οὖν ἂν φάντες, ὦ Ἀλκιβιάδη, τοὺς ἄφρονας
all then — saying O Alcibiades the foolish
μαίνεσθαι ὀρθῶς ἂν φαίημεν· αὐτίκα τῶν σῶν ἡλικιωτῶν
to-be-mad rightly — would-we-say for-instance of-the your age-mates
εἴ τινες τυγχάνουσιν ἄφρονες ὄντες, ὥσπερ εἰσί, καὶ τῶν
if any happen foolish being as there-are and of-the
ἔτι πρεσβυτέρων. ἐπεὶ φέρε πρὸς Διός, οὐκ οἴει τῶν
still older since come by Zeus not do-you-think of-those
ἐν τῇ πόλει ὀλίγους μὲν εἶναι τοὺς φρονίμους, ἄφρονας
in the city few indeed to-be the prudent foolish
δὲ δὴ τοὺς πολλούς, οὓς δὴ σὺ μαινομένους καλεῖς;
and indeed the many whom indeed you mad call

ALC. ἔγωγε.
I-at-least

d SOC. οἴει ἂν οὖν χαίροντας ἡμᾶς εἶναι μετὰ τοσούτων
do-you-think — then rejoicing us to-be with so-many
μαινομένων πολιτευομένους, καὶ οὐκ ἂν παιομένους
mad being-citizens and not — being-struck
καὶ βαλλομένους, καὶ ἅπερ εἰώθασιν οἱ μαινόμενοι
and being-pelted and what-very are-accustomed the mad
διαπράττεσθαι, πάλαι δὴ δίκην δεδωκέναι; ἀλλὰ ὅρα,
to-do long-ago indeed penalty to-have-paid but see
ὦ μακάριε, μὴ οὐχ οὕτως ταῦτ' ἔχει.
O blessed-one lest not so these-things are
ALC. πῶς ἂν οὖν ποτ' ἔχοι, ὦ Σώκρατες; κινδυνεύει γὰρ
how — then ever might-it-be O Socrates it-risks for
οὐχ οὕτως ἔχειν ὥσπερ ᾠήθην.
not so to-be as I-thought
SOC. οὐδ' ἐμοὶ δοκεῖ. ἀλλὰ τῇδέ πῃ ἀθρητέον.
nor to-me it-seems but in-this-way somehow it-must-be-examined
ALC. πῇ ποτε λέγεις;
how ever do-you-mean
SOC. ἐγὼ δή σοί γε ἐρῶ. ὑπολαμβάνομέν γέ τινας
I indeed to-you at-least will-say we-suppose at-least some
εἶναι νοσοῦντας· ἢ οὔ;
to-be sick or not
ALC. πάνυ μὲν οὖν.
certainly indeed then
e SOC. ἆρ' οὖν δοκεῖ σοι ἀναγκαῖον εἶναι τὸν νοσοῦντα
so then does-it-seem to-you necessary to-be the sick-one
ποδαγρᾶν ἢ πυρέττειν ἢ ὀφθαλμιᾶν, ἢ οὐκ ἂν δοκεῖ
to-have-gout or to-have-fever or to-have-ophthalmia or not — does-it-seem
σοι καὶ μηδὲν τούτων πεπονθὼς ἑτέραν νόσον νοσεῖν;
to-you also none of-these having-experienced other disease to-be-sick
πολλαὶ γὰρ δήπου γέ εἰσι, καὶ οὐχ αὗται μόναι.
many for surely at-least there-are and not these only

ALC. ἔμοιγε δοκοῦσιν.
to-me-at-least they-seem
SOC. ὀφθαλμία σοι οὖν δοκεῖ πᾶσα νόσος εἶναι;
ophthalmia to-you then seems every disease to-be
ALC. ναί.
yes
SOC. ἆρ᾽ οὖν καὶ πᾶσα νόσος ὀφθαλμία;
so then also every disease ophthalmia
ALC. οὐ δῆτα ἔμοιγε· ἀπορῶ μέντοι γε πῶς λέγω.
not indeed to-me-at-least I-am-at-a-loss however at-least how I-mean

II · KINDS OF FOLLY

As craftsmen and diseases are of many kinds, so folly is divided: madness is its greatest share, stupidity a lesser, and kinder names call it simplicity. The wise know what to do and say; fools do and say what they should not unawares, and many, not crazed by anger like Oedipus, pray for evils thinking them goods. If the god offered Alcibiades rule over Athens, then Greece, then Europe, he would leave rejoicing but would not take it at the cost of his soul, or to misuse it. Many who sought tyranny died by it, like Archelaus of Macedon, whose beloved killed him and died within days.

SOC. ἀλλ᾽ ἐὰν ἔμοιγε προσέχῃς τὸν νοῦν, σύν τε δύο 140
but if to-me-at-least you-apply the mind together both two
σκεπτομένω τυχὸν εὑρήσομεν.
considering perhaps we-shall-find
ALC. ἀλλὰ προσέχω, ὦ Σώκρατες, εἰς δύναμιν τὴν ἐμήν.
but I-apply O Socrates to power the my
SOC. οὐκοῦν ὡμολογήθη ἡμῖν ὀφθαλμία μὲν πᾶσα νόσος
therefore it-was-agreed by-us ophthalmia indeed every disease
εἶναι, νόσος μέντοι οὐκ εἶναι πᾶσα ὀφθαλμία;
to-be disease however not to-be every ophthalmia

ALC. ὡμολογήθη.
it-was-agreed

b SOC. καὶ ὀρθῶς γέ μοι δοκεῖ ὁμολογηθῆναι. καὶ γὰρ οἱ
and rightly at-least to-me it-seems to-have-been-agreed and for the
πυρέττοντες πάντες νοσοῦσιν, οὐ μέντοι οἱ νοσοῦντες πάντες
feverish all are-sick not however the sick all
πυρέττουσιν οὐδὲ ποδαγρῶσιν οὐδέ γε ὀφθαλμιῶσιν, οἶμαι·
are-feverish nor have-gout nor at-least have-ophthalmia I-think
ἀλλὰ νόσος μὲν πᾶν τὸ τοιοῦτόν ἐστι, διαφέρειν δέ φασιν
but disease indeed all the such is to-differ but they-say
οὓς δὴ καλοῦμεν ἰατροὺς τὴν ἀπεργασίαν αὐτῶν. οὐ
those-whom indeed we-call doctors the working of-them not
γὰρ πᾶσιν οὔτε ὅμοιαι οὔτε ὁμοίως διαπράττονται, ἀλλὰ
for in-all-cases neither alike nor alike they-act but
κατὰ τὴν αὑτῆς δύναμιν ἑκάστη· νόσοι μέντοι πᾶσαί
according-to the its-own power each diseases however all
εἰσιν. ὥσπερ δημιουργούς τινας ὑπολαμβάνομεν· ἢ οὔ;
are as craftsmen some we-suppose or not
ALC. πάνυ μὲν οὖν.
certainly indeed then

c SOC. οὐκοῦν τοὺς σκυτοτόμους καὶ τέκτονας καὶ
therefore the shoemakers and carpenters and
ἀνδριαντοποιοὺς καὶ ἑτέρους παμπληθεῖς, οὓς τί δεῖ
statue-makers and others very-many whom why it-is-needful
καθ' ἕκαστα λέγειν; ἔχουσι δ' οὖν διειληφότες δημιουργίας
in particular to-tell they-have and anyway having-divided of-craftsmanship
μέρη, καὶ πάντες οὗτοί εἰσι δημιουργοί, οὐ μέντοι εἰσὶ
parts and all these are craftsmen not however they-are
τέκτονές γε οὐδὲ σκυτοτόμοι οὐδ' ἀνδριαντοποιοί, οἳ
carpenters at-least nor shoemakers nor statue-makers who
σύμπαντές εἰσι δημιουργοί.
all-together are craftsmen

ALC. οὐ δῆτα.
not indeed

SOC. οὕτως μὲν τοίνυν καὶ τὴν ἀφροσύνην διειληφότες εἰσί, d
so indeed then also the folly having-divided they-are
καὶ τοὺς μὲν πλεῖστον αὐτῆς μέρος ἔχοντας μαινομένους
and the-ones indeed greatest of-it part having mad
καλοῦμεν, τοὺς δ' ὀλίγον ἔλαττον ἠλιθίους τε καὶ
we-call the-others and little less stupid both and
ἐμβροντήτους· οἱ δὲ ἐν εὐφημοτάτοις ὀνόμασι βουλόμενοι
thunderstruck the and in most-euphemistic names wishing
κατονομάζειν οἱ μὲν μεγαλοψύχους, οἱ δὲ εὐήθεις,
to-name the-ones indeed high-minded the-others and simple
ἕτεροι δὲ ἀκάκους καὶ ἀπείρους καὶ ἐνεούς· εὑρήσεις δὲ
others and innocent and inexperienced and dumb you-will-find and
καὶ ἕτερα πολλὰ ἀναζητῶν ὀνόματα. πάντα δὲ ταῦτα
also other many seeking-out names all and these
ἀφροσύνη ἐστίν, διαφέρει δέ, ὥσπερ τέχνη τέχνης ἡμῖν
folly is it-differs and as art from-art to-us
κατεφαίνετο καὶ νόσος νόσου· ἢ πῶς σοι δοκεῖ;
it-appeared and disease from-disease or how to-you does-it-seem
ALC. ἐμοὶ μὲν οὕτως.
to-me indeed so
SOC. οὐκοῦν ἀπ' ἐκείνου πάλιν ἐπανέλθωμεν. ἦν γὰρ
therefore from that again let-us-go-back it-was for
δήπου καὶ ἐν ἀρχῇ τοῦ λόγου, σκεπτέον εἶναι τοὺς
surely also at beginning of-the argument to-be-considered to-be the
ἄφρονάς τε καὶ φρονίμους, τίνες ποτ' εἰσίν. ὡμολόγητο
foolish both and prudent who ever are it-had-been-agreed
γὰρ εἶναί τινας· ἦ γὰρ οὔ;
for to-be some is-it-not for not
ALC. ναί, ὡμολόγηται.
yes it-has-been-agreed

e SOC. ἆρ' οὖν τούτους φρονίμους ὑπολαμβάνεις, οἳ ἂν
so then these prudent do-you-suppose who —
εἰδῶσιν ἅττα δεῖ πράττειν καὶ λέγειν;
know what-things it-is-needful to-do and to-say
ALC. ἔγωγε.
I-at-least
SOC. ἄφρονας δὲ ποτέρους; ἆρά γε τοὺς μηδέτερα
foolish and which then at-least the neither
τούτων εἰδότας;
of-these knowing
ALC. τούτους.
these
SOC. οὐκοῦν οἵ γε μὴ εἰδότες μηδέτερα τούτων
therefore those at-least not knowing neither of-these
λήσουσιν αὑτοὺς καὶ λέγοντες καὶ πράττοντες ἅττα
will-escape-notice-of themselves both saying and doing what-things
μὴ δεῖ;
not it-is-needful
ALC. φαίνεται.
it-appears
141 SOC. τούτων μέντοι ἔλεγον, ὦ Ἀλκιβιάδη, καὶ τὸν Οἰδίπουν
of-these indeed I-said O Alcibiades also — Oedipus
εἶναι τῶν ἀνθρώπων· εὑρήσεις δ' ἔτι καὶ τῶν νῦν πολλοὺς
to-be of-the humans you-will-find and further also of-those now many
οὐκ ὀργῇ κεχρημένους, ὥσπερ ἐκεῖνον, οὐδ' οἰομένους
not with-anger having-been-possessed like that-one nor thinking
κακά σφισιν εὔχεσθαι, ἀλλ' ἀγαθά. ἐκεῖνος μὲν ὥσπερ
evils for-themselves to-pray-for but goods that-one indeed as
οὐδ' ηὔχετο, οὐδ' ᾤετο· ἕτεροι δέ τινές εἰσιν οἳ τἀναντία
neither prayed nor thought others and some are who the-opposite
τούτων πεπόνθασιν. ἐγὼ μὲν γὰρ οἶμαί σε πρῶτον, εἴ σοι
of-these have-experienced I indeed for think you first if to-you

ἐμφανὴς γενόμενος ὁ θεὸς πρὸς ὃν τυγχάνεις πορευόμενος,
manifest having-become the god to whom you-happen going
ἐρωτήσειεν, πρὶν ὁτιοῦν εὔξασθαί σε, εἰ ἐξαρκέσει
should-ask before anything-whatever to-pray you whether it-will-suffice
σοι τύραννον γενέσθαι τῆς Ἀθηναίων πόλεως· εἰ δὲ
for-you tyrant to-become of-the Athenians city if and
τοῦτο φαῦλον ἡγήσαιο καὶ μὴ μέγα τι, προσθείη
this poor you-should-consider and not great something he-should-add
καὶ πάντων τῶν Ἑλλήνων· εἰ δέ σε ὁρῴη ἔτι ἔλαττον
also of-all the Greeks if and you he-should-see still less
δοκοῦντα ἔχειν, εἰ μὴ καὶ πάσης Εὐρώπης, ὑποσταίη σοι
seeming to-have if not also of-all Europe he-should-promise to-you
καὶ τοῦτο, καὶ τοῦτο μὴ μόνον ὑποσταίη, ἀλλ' αὐθημερόν
and this and this not only should-promise but the-same-day
σου βουλομένου ὡς πάντας αἰσθήσεσθαι ὅτι Ἀλκιβιάδης
you wishing so-that all will-perceive that Alcibiades
ὁ Κλεινίου τύραννός ἐστιν· αὐτὸν οἶμαι ἄν σε ἀπιέναι
the (son)-of-Clinias tyrant is himself I-think — you to-go-away
περιχαρῆ γενόμενον, ὡς τῶν μεγίστων ἀγαθῶν κεκυρηκότα.
overjoyed having-become as of-the greatest goods having-obtained
ALC. ἐγὼ μὲν οἶμαι, ὦ Σώκρατες, κἂν ἄλλον ὁντινοῦν,
I indeed think O Socrates even other anyone-whatever
εἴπερ τοιαῦτα συμβαίη αὐτῷ.
if-indeed such-things should-befall him
SOC. ἀλλὰ μέντοι ἀντί γε τῆς σῆς ψυχῆς οὐδ' ἂν c
but however instead-of at-least the your soul not-even —
τὴν πάντων Ἑλλήνων τε καὶ βαρβάρων χώραν τε καὶ
the of-all Greeks both and barbarians land both and
τυραννίδα βουληθείης σοι γενέσθαι.
tyranny would-you-wish for-you to-become

ALC. οὐκ οἶμαι ἔγωγε. πῶς γὰρ ἄν, μηθέν γέ τι
not I-think I-at-least how for — nothing at-least at-all
μέλλων αὐτοῖς χρήσεσθαι;
going to-them to-use
SOC. τί δ' εἰ μέλλοις κακῶς τε καὶ βλαβερῶς χρῆσθαι;
what and if you-were-going badly both and harmfully to-use
οὐδ' ἂν οὕτως;
not-even — so
ALC. οὐ δῆτα.
not indeed
d SOC. ὁρᾷς οὖν ὡς οὐκ ἀσφαλὲς οὔτε τὰ διδόμενα εἰκῇ
you-see then how not safe neither the things-given at-random
δέχεσθαί τε οὔτε αὐτὸν εὔχεσθαι γενέσθαι, εἴ γέ τις
to-receive both nor himself to-pray to-come-about if at-least anyone
βλάπτεσθαι μέλλοι διὰ ταῦτα ἢ τὸ παράπαν τοῦ
to-be-harmed should-be-going because-of these-things or the altogether from-the
βίου ἀπαλλαγῆναι. πολλοὺς δ' ἂν ἔχοιμεν εἰπεῖν, ὅσοι
life to-be-released many and — we-could to-tell as-many-as
τυραννίδος ἐπιθυμήσαντες ἤδη καὶ σπουδάσαντες τοῦτ'
of-tyranny having-desired already and having-striven this
αὐτοῖς παραγενέσθαι, ὡς ἀγαθόν τι πράξαντες,
for-themselves to-come-about as good something having-done
διὰ τὴν τυραννίδα ἐπιβουλευθέντες τὸν βίον ἀφῃρέθησαν.
because-of the tyranny plotted-against the life were-deprived
οἶμαι δέ σε οὐκ ἀνήκοον εἶναι ἔνιά γε χθιζά τε
I-think and you not unacquainted to-be some at-least yesterday both
καὶ πρωιζὰ γεγενημένα, ὅτε Ἀρχέλαον τὸν Μακεδόνων
and day-before having-happened when Archelaus the of-Macedonians
τύραννον τὰ παιδικά, ἐρασθέντα τῆς τυραννίδος οὐθὲν
tyrant the beloved having-loved the tyranny nothing
ἧττον ἤπερ ἐκεῖνος τῶν παιδικῶν, ἀπέκτεινε τὸν ἐραστὴν
less than that-one the beloved killed the lover

ὡς τύραννός τε καὶ εὐδαίμων ἀνὴρ ἐσόμενος· κατασχὼν
as tyrant both and happy man going-to-be having-held
δὲ τρεῖς ἢ τέτταρας ἡμέρας τὴν τυραννίδα πάλιν αὐτὸς
and three or four days the tyranny again himself
ἐπιβουλευθεὶς ὑφ᾽ ἑτέρων τινῶν ἐτελεύτησεν.
plotted-against by others some died

III · THE POET'S PRAYER

Generals in Athens have been exiled or killed, or lived besieged by informers; parents have prayed for children who brought them misery. Yet few refuse such gifts or stop praying for them. Perhaps men wrongly blame the gods when their own folly brings their woes, and the poet was wise who prayed that Zeus give good things whether asked for or not and avert the bad even when asked. Alcibiades blames ignorance; Socrates warns that some ignorance may be good. Alcibiades shrinks from Orestes' deed against his mother, and Orestes, had he known what was best, would not have dared it; so ignorance of the best is the evil.

soc. ὁρᾷς δὴ καὶ τῶν ἡμετέρων πολιτῶν — ταῦτα γὰρ 142
you-see indeed also of-the our citizens these-things for
οὐκ ἄλλων ἀκηκόαμεν, ἀλλ᾽ αὐτοὶ παρόντες οἴδαμεν —
not from-others we-have-heard but ourselves being-present we-know
ὅσοι στρατηγίας ἐπιθυμήσαντες ἤδη καὶ τυχόντες
as-many-as generalship having-desired already and having-obtained
αὐτῆς οἱ μὲν ἔτι καὶ νῦν φυγάδες τῆσδε τῆς πόλεώς
it the-ones indeed still even now exiles from-this the city
εἰσιν, οἱ δὲ τὸν βίον ἐτελεύτησαν· οἱ δὲ ἄριστα
are the-others and the life ended the-others and best
δοκοῦντες αὐτῶν πράττειν διὰ πολλῶν κινδύνων ἐλθόντες
seeming of-them to-fare through many dangers having-gone
καὶ φόβων οὐ μόνον ἐν ταύτῃ τῇ στρατηγίᾳ, ἀλλ᾽
and fears not only in this the generalship but

ἐπεὶ εἰς τὴν ἑαυτῶν κατῆλθον, ὑπὸ τῶν συκοφαντῶν
when into the their-own they-returned by the informers
πολιορκούμενοι πολιορκίαν οὐδὲν ἐλάττω τῆς ὑπὸ
being-besieged siege no less than-the by
τῶν πολεμίων διετέλεσαν, ὥστε ἐνίους αὐτῶν εὔχεσθαι
the enemies went-through so-that some of-them to-pray
ἀστρατηγήτους εἶναι μᾶλλον ἢ ἐστρατηγηκέναι. εἰ μὲν
not-generals to-be rather than to-have-been-generals if indeed
οὖν ἦσαν οἱ κίνδυνοί τε καὶ πόνοι φέροντες εἰς ὠφέλειαν,
then were the dangers both and toils bringing toward benefit
εἶχεν ἄν τινα λόγον· νῦν δὲ καὶ πολὺ τοὐναντίον.
it-would-have — some reason now but also much the-opposite
εὑρήσεις δὲ καὶ περὶ τέκνων τὸν αὐτὸν τρόπον, εὐξαμένους
you-will-find and also about children the same way having-prayed
τινὰς ἤδη γενέσθαι καὶ γενομένων εἰς συμφοράς τε
some already to-be-born and having-been-born into misfortunes both
καὶ λύπας τὰς μεγίστας καταστάντας. οἱ μὲν γὰρ
and griefs the greatest having-been-set the-ones indeed for
μοχθηρῶν διὰ τέλους ὄντων τῶν τέκνων ὅλον τὸν βίον
wicked through end being the children whole the life
λυπούμενοι διήγαγον· τοὺς δὲ χρηστῶν μὲν γενομένων,
grieving passed the-others and good indeed having-become
συμφοραῖς δὲ χρησαμένων ὥστε στερηθῆναι, καὶ τούτους
misfortunes but having-met so-as to-be-bereaved and these
οὐδὲν εἰς ἐλάττονας δυστυχίας καθεστηκότας ἤπερ ἐκείνους
nothing into smaller misfortunes having-been-set than those
καὶ βουλομένους ἂν ἀγένητα μᾶλλον εἶναι ἢ γενέσθαι.
and wishing — unborn rather to-be than to-have-been-born
d ἀλλ' ὅμως τούτων τε καὶ ἑτέρων πολλῶν ὁμοιοτρόπων
but nevertheless these both and others many of-like-kind
τούτοις οὕτω σφόδρα καταδήλων ὄντων, σπάνιον εὑρεῖν
to-these so very evident being rare to-find

ὅστις ἂν ἢ διδομένων ἀπόσχοιτο ἢ μέλλων δι᾽ εὐχῆς
who — either things-given would-refrain-from or about through prayer
τεύξεσθαι παύσαιτο ἂν εὐχόμενος· οἱ δὲ πολλοὶ οὔτε ἂν
to-obtain would-stop — praying the but many neither —
τυραννίδος διδομένης ἀπόσχοιντο ἂν οὔτε στρατηγίας οὐδ᾽
tyranny being-given would-refrain — nor generalship nor
ἑτέρων πολλῶν, ἃ παρόντα βλάπτει μᾶλλον ἢ ὠφελεῖ,
others many which being-present harm rather than benefit
ἀλλὰ κἂν εὔξαιντο ἂν γενέσθαι, εἴ τῳ μὴ παρόντα
but even they-would-pray — to-come-about if to-anyone not being-present
τυγχάνει· ὀλίγον δὲ ἐπισχόντες ἐνίοτε παλινῳδοῦσιν,
they-happen little and having-waited sometimes they-recant
ἀνευχόμενοι ἅττ᾽ ἂν τὸ πρῶτον εὔξωνται. ἐγὼ μὲν οὖν
unpraying whatever — the first they-prayed I indeed then
ἀπορῶ μὴ ὡς ἀληθῶς μάτην θεοὺς ἄνθρωποι αἰτιῶνται,
am-at-a-loss lest as truly in-vain gods humans blame
ἐξ ἐκείνων φάμενοι κακά σφισιν εἶναι· οἱ δὲ καὶ
from those saying evils for-themselves to-be they and also
αὐτοὶ σφῇσιν εἴτε ἀτασθαλίαισιν εἴτε ἀφροσύναις χρὴ
themselves by-their whether by-recklessness or by-follies it-is-needful
εἰπεῖν, ὑπὲρ μόρον ἄλγε᾽ ἔχουσι. κινδυνεύει γοῦν, ὦ
to-say beyond fate griefs have it-risks at-any-rate O
Ἀλκιβιάδη, φρόνιμός τις εἶναι ἐκεῖνος ὁ ποιητής, ὃς
Alcibiades prudent some to-be that the poet who
δοκεῖ μοι φίλοις ἀνοήτοις τισὶ χρησάμενος, ὁρῶν αὐτοὺς
seems to-me friends foolish some having-had seeing them
καὶ πράττοντας καὶ εὐχομένους ἅπερ οὐ βέλτιον ἦν,
both doing and praying what-very not better was

ἐκείνοις δὲ ἐδόκει, κοινῇ ὑπὲρ ἁπάντων αὐτῶν εὐχὴν
to-those but seemed in-common on-behalf-of all of-them prayer
ποιήσασθαι· λέγει δέ πως ὧδί —
to-make he-says and somehow thus

143 Ζεῦ βασιλεῦ, τὰ μὲν ἐσθλά, φησί,
Zeus king the indeed good-things he-says
καὶ εὐχομένοις καὶ ἀνεύκτοις
both praying and unpraying
ἄμμι δίδου, τὰ δὲ δειλὰ καὶ εὐχομένοις ἀπαλέξειν
to-us give the and bad-things even praying to-ward-off

κελεύει.
he-bids
ἐμοὶ μὲν οὖν καλῶς δοκεῖ καὶ ἀσφαλῶς λέγειν ὁ ποιητής·
to-me indeed then finely it-seems and safely to-speak the poet
σὺ δ' εἴ τι ἐν νῷ ἔχεις πρὸς ταῦτα, μὴ σιώπα.
you and if anything in mind you-have toward these-things not be-silent

b ALC. χαλεπόν, ὦ Σώκρατες, ἐστὶν ἀντιλέγειν πρὸς τὰ
hard O Socrates it-is to-speak-against toward the
καλῶς εἰρημένα· ἐκεῖνο δ' οὖν ἐννοῶ, ὅσων κακῶν
finely said-things that but anyway I-consider of-how-many evils
αἰτία ἡ ἄγνοια τοῖς ἀνθρώποις, ὁπότε, ὡς ἔοικε,
cause the ignorance for-the humans when as it-seems
λελήθαμεν ἡμᾶς αὐτοὺς διὰ ταύτην καὶ πράττοντες
we-escape-the-notice-of us ourselves through this both doing
καὶ τό γε ἔσχατον εὐχόμενοι ἡμῖν αὐτοῖς τὰ κάκιστα.
and the at-least utmost praying for-us ourselves the worst-things
ὅπερ οὖν οὐδεὶς ἂν οἰηθείη, ἀλλὰ τοῦτό γε πᾶς ἂν
which-very then no-one — would-think but this at-least everyone —
οἴοιτο ἱκανὸς εἶναι, αὐτὸς αὑτῷ τὰ βέλτιστα εὔξασθαι,
would-think competent to-be himself for-himself the best-things to-pray-for

ἀλλ᾽ οὐ τὰ κάκιστα. τοῦτο μὲν γὰρ ὡς ἀληθῶς κατάρᾳ
but not the worst-things this indeed for as truly to-a-curse
τινὶ ἀλλ᾽ οὐκ εὐχῇ ὅμοιον ἂν εἴη.
some but not to-prayer like — would-be
SOC. ἀλλ᾽ ἴσως, ὦ βέλτιστε, φαίη ἄν τις ἀνήρ, ὃς c
but perhaps O best might-say — some man who
ἐμοῦ τε καὶ σοῦ σοφώτερος ὢν τυγχάνοι, οὐκ ὀρθῶς
than-me both and than-you wiser being might-happen not rightly
ἡμᾶς λέγειν, οὕτως εἰκῇ ψέγοντας ἄγνοιαν, εἴ γε
us to-speak so at-random blaming ignorance if at-least
μὴ προσθείημεν τὴν ἔστιν ὧν τε ἄγνοιαν καὶ ἔστιν
not we-should-add the there-is of-what both ignorance and there-is
οἷς καὶ ἔχουσί πως ἀγαθόν, ὥσπερ ἐκείνοις κακόν.
for-whom and being somehow good as for-those bad
ALC. πῶς λέγεις; ἔστι γὰρ ὁτιοῦν πρᾶγμα ὅτῳ δὴ
how do-you-mean is-there for any-whatever thing for-whom indeed
ὁπωσοῦν ἔχοντι ἄμεινον ἀγνοεῖν ἢ γιγνώσκειν;
in-any-way being better to-be-ignorant than to-know
SOC. ἔμοιγε δοκεῖ· σοὶ δ᾽ οὔ;
to-me-at-least it-seems to-you and not
ALC. οὐ μέντοι μὰ Δία.
not indeed by Zeus
SOC. ἀλλὰ μὴν οὐδὲ ἐκεῖνό σου καταγνώσομαι, ἐθέλειν d
but indeed nor that of-you will-I-condemn to-be-willing
ἄν σε πρὸς τὴν ἑαυτοῦ μητέρα διαπεπρᾶχθαι ἅπερ
— you toward the your-own mother to-have-done what-very
Ὀρέστην φασὶ καὶ τὸν Ἀλκμέωνα καὶ εἴ δή τινες ἄλλοι
Orestes they-say and — Alcmaeon and if indeed any others
ἐκείνοις τυγχάνουσι ταὐτὰ διαπεπραγμένοι.
with-those happen the-same-things having-done
ALC. εὐφήμει πρὸς Διός, ὦ Σώκρατες.
hush by Zeus O Socrates

SOC. οὔτοι τὸν λέγοντα, ὦ Ἀλκιβιάδη, ὡς οὐκ ἂν
surely-not the-one saying O Alcibiades that not —
ἐθέλοις σοι ταῦτα πεπρᾶχθαι, εὐφημεῖν δεῖ σε
you-would-wish for-you these-things to-have-been-done to-hush it-is-needful you
κελεύειν, ἀλλὰ μᾶλλον πολύ, εἴ τις τὰ ἐναντία λέγοι,
to-bid but rather much if anyone the opposite-things should-say
ἐπειδὴ οὕτω σοι δοκεῖ σφόδρα δεινὸν εἶναι τὸ πρᾶγμα,
since so to-you it-seems very terrible to-be the thing
ὥστ᾽ οὐδὲ ῥητέον εἶναι οὕτως εἰκῇ. δοκεῖς δ᾽ ἂν τὸν
so-that not-even to-be-spoken to-be so at-random do-you-think and — —
Ὀρέστην, εἰ ἐτύγχανε φρόνιμος ὢν καὶ εἰδὼς ὅτι βέλτιστον
Orestes if he-happened prudent being and knowing what best
ἦν αὐτῷ πράττειν, τολμῆσαι ἄν τι τούτων διαπράξασθαι;
was for-him to-do to-have-dared — any of-these to-have-done

ALC. οὐ δῆτα.
not indeed

e SOC. οὐδέ γε ἄλλον οἶμαι οὐδένα.
nor at-least other I-think anyone

ALC. οὐ μέντοι.
not indeed

SOC. κακὸν ἄρα, ὡς ἔοικεν, ἐστὶν ἡ τοῦ βελτίστου ἄγνοια
bad then as it-seems is the of-the best ignorance
καὶ τὸ ἀγνοεῖν τὸ βέλτιστον.
and the to-be-ignorant-of the best

ALC. ἔμοιγε δοκεῖ.
to-me-at-least it-seems

SOC. οὐκοῦν καὶ ἐκείνῳ καὶ τοῖς ἄλλοις ἅπασιν;
therefore both for-that-one and for-the others all

ALC. φημί.
I-say

If Alcibiades, thinking it best, went to kill Pericles and failed to recognize him, he would not attack; Orestes would not have killed his mother without knowing her. Ignorance is then better for those so disposed. Knowledge of other things without knowledge of the best usually harms its owner. The orators advise on war, walls, and harbors, and the city acts on their counsel. Only one who knows when and toward whom each thing is best is prudent, not a mere horseman or boxer.

SOC. ἔτι τοίνυν καὶ τόδε ἐπισκεψώμεθα· εἴ σοι αὐτίκα 144
further then also this let-us-examine if to-you straightway
μάλα παρεσταίη, οἰηθέντι βέλτιον εἶναι, Περικλέα τὸν
very it-should-occur having-thought better to-be Pericles the
σεαυτοῦ ἐπίτροπόν τε καὶ φίλον, ἐγχειρίδιον λαβόντα,
your-own guardian both and friend a-dagger having-taken
ἐλθόντα ἐπὶ τὰς θύρας, εἰπεῖν εἰ ἔνδον ἐστί, βουλόμενον
having-gone to the doors to-ask if inside he-is wishing
ἀποκτεῖναι αὐτὸν ἐκεῖνον, ἄλλον δὲ μηδένα· οἱ δὲ φαῖεν
to-kill him that-one other but no-one they and should-say
ἔνδον εἶναι — καὶ οὐ λέγω ἐθέλειν ἄν σε τούτων
inside to-be and not I-say to-be-willing — you of-these
τι πράττειν· ἀλλ' εἰ, οἶμαι, δόξει σοι, ὅπερ
anything to-do but if I-think it-will-seem to-you which-very
οὐθὲν κωλύει δήπου τῷ γε ἀγνοοῦντι τὸ βέλτιστον
nothing hinders surely to-the-one at-least ignorant-of the best
παραστῆναί ποτε δόξαν, ὥστε οἰηθῆναι καὶ τὸ κάκιστόν
to-occur ever opinion so-as to-think also the worst
ποτε βέλτιστον εἶναι· ἢ οὐκ ἂν δοκεῖ σοι;
ever best to-be or not — does-it-seem to-you
ALC. πάνυ μὲν οὖν.
certainly indeed then

b SOC. εἰ οὖν παρελθὼν εἴσω καὶ ἰδὼν αὐτὸν ἐκεῖνον
if then having-gone-past inside and having-seen him that-one
ἀγνοήσαις τε καὶ οἰηθείης ἂν ἄλλον εἶναί τινα, ἆρ᾽
you-should-fail-to-know both and should-think — another to-be someone then
ἔτι ἂν αὐτὸν τολμήσαις ἀποκτεῖναι;
still — him would-you-dare to-kill
ALC. οὐ μὰ τὸν Δία, οὐκ ἄν μοι δοκῶ.
not by — Zeus not — to-me I-seem
SOC. οὐ γὰρ δήπου τὸν ἐντυχόντα, ἀλλ᾽ αὐτὸν ἐκεῖνον
not for surely the-one chancing but him that-one
ὃν ἠβούλου. ἦ γάρ;
whom you-wished is-it-not for
ALC. ναί.
yes
SOC. οὐκοῦν καὶ εἰ πολλάκις ἐγχειροῖς, αἰεὶ δὲ ἀγνοοῖς
therefore also if often you-should-attempt always but should-fail-to-know
τὸν Περικλέα, ὁπότε μέλλοις τοῦτο πράττειν, οὔποτε
— Pericles when you-were-about this to-do never
ἂν ἐπίθοιο αὐτῷ.
— would-you-attack him
ALC. οὐ δῆτα.
not indeed
SOC. τί δέ; τὸν Ὀρέστην δοκεῖς ἄν ποτε τῇ μητρὶ
what and — Orestes do-you-think — ever the mother
ἐπιθέσθαι, εἴ γε ὡσαύτως ἠγνόησεν;
to-have-attacked if at-least likewise he-had-failed-to-know
c ALC. οὐκ οἶμαι ἔγωγε.
not I-think I-at-least

SOC. οὐ γὰρ δήπου οὐδ' ἐκεῖνος τὴν προστυχοῦσαν γυναῖκα
not for surely nor that-one the chance-met woman
οὐδὲ τὴν ὁτουοῦν μητέρα διενοεῖτο ἀποκτεῖναι, ἀλλὰ
nor the anyone-whatever's mother intended to-kill but
τὴν αὐτὸς αὑτοῦ.
the himself of-himself
ALC. ἔστι ταῦτα.
it-is these-things
SOC. ἀγνοεῖν ἄρα τά γε τοιαῦτα βέλτιον τοῖς οὕτω
to-be-ignorant then the at-least such-things better for-those so
διακειμένοις καὶ τοιαύτας δόξας ἔχουσιν.
disposed and such opinions having
ALC. φαίνεται.
it-appears
SOC. ὁρᾷς οὖν ὅτι ἡ ἔστιν ὧν τε ἄγνοια καὶ ἔστιν
you-see then that the there-is of-what both ignorance and there-is
οἷς καὶ ἔχουσί πως ἀγαθόν, ἀλλ' οὐ κακόν, ὥσπερ
for-whom and being somehow good but not bad as
ἄρτι σοι ἐδόκει;
just-now to-you it-seemed
ALC. ἔοικεν.
it-seems
SOC. ἔτι τοίνυν εἰ βούλει τὸ μετὰ τοῦτο ἐπισκοπεῖν, d
further then if you-wish the after this to-examine
ἄτοπον ἂν ἴσως ἄν σοι δόξειεν εἶναι.
strange — perhaps — to-you might-seem to-be
ALC. τί μάλιστα, ὦ Σώκρατες;
what most O Socrates
SOC. ὅτι, ὡς ἔπος εἰπεῖν, κινδυνεύει τό γε τῶν ἄλλων e
that as a-word to-say it-risks the at-least of-the other
ἐπιστημῶν κτῆμα, ἐάν τις ἄνευ τοῦ βελτίστου κεκτημένος
knowledges possession if anyone without the best having-acquired

ἦ, ὀλιγάκις μὲν ὠφελεῖν, βλάπτειν δὲ τὰ πλείω τὸν
be seldom indeed to-benefit to-harm but the more the-one
ἔχοντα αὐτό. σκόπει δὲ ὧδε. ἆρ᾽ οὐκ ἀναγκαῖόν σοι δοκεῖ
having it consider and thus then not necessary to-you seems
εἶναι, ὅταν τι μέλλωμεν ἤτοι πράττειν ἢ λέγειν, οἰηθῆναι
to-be when anything we-are-about either to-do or to-say to-think
δεῖν πρῶτον ἡμᾶς εἰδέναι ἢ τῷ ὄντι εἰδέναι τοῦθ᾽
to-be-needful first us to-know or in-the reality to-know this
ὃ ἂν προχειροτέρως μέλλωμεν ἢ λέγειν ἢ πράττειν;
which — more-readily we-are-about either to-say or to-do

ALC. ἔμοιγε δοκεῖ.
to-me-at-least it-seems

145 SOC. οὐκοῦν οἱ ῥήτορες αὐτίκα ἤτοι εἰδότες συμβουλεύειν
therefore the orators for-instance either knowing to-advise
ἢ οἰηθέντες εἰδέναι συμβουλεύουσιν ἡμῖν ἑκάστοτε, οἱ
or having-thought to-know advise to-us each-time the-ones
μὲν περὶ πολέμου τε καὶ εἰρήνης, οἱ δὲ περὶ τειχῶν
indeed about war both and peace the-others and about walls
οἰκοδομίας ἢ καὶ λιμένων κατασκευῆς· ἑνὶ δὲ λόγῳ,
building or also of-harbors construction in-one and word
ὅσα δή ποτε ἡ πόλις πράττει πρὸς ἄλλην πόλιν
as-many-things-as indeed ever the city does toward another city
ἢ αὐτὴ καθ᾽ αὑτήν, ἀπὸ τῆς τῶν ῥητόρων συμβουλῆς
or itself by itself from the of-the orators counsel
πάντα γίγνεται.
all happens

ALC. ἀληθῆ λέγεις.
true-things you-say

SOC. ὅρα τοίνυν καὶ τὰ ἐπὶ τούτοις.
see then also the-things after these

ALC. ἂν δυνηθῶ.
if I-can

SOC. καλεῖς γὰρ δήπου φρονίμους τε καὶ ἄφρονας;
you-call for surely prudent both and foolish
ALC. ἔγωγε.
I-at-least
SOC. οὐκοῦν τοὺς μὲν πολλοὺς ἄφρονας, τοὺς δ' ὀλίγους
therefore the indeed many foolish the and few
φρονίμους;
prudent
ALC. οὕτως.
so
SOC. οὐκοῦν πρός τι ἀποβλέπων ἀμφοτέρους;
therefore toward something looking both
ALC. ναί.
yes
SOC. ἆρ' οὖν τὸν τοιοῦτον συμβουλεύειν εἰδότα, χωρὶς τοῦ b
so then the such to-advise knowing apart-from the
πότερον βέλτιον καὶ ὅτε βέλτιον, φρόνιμον καλεῖς;
whether better and when better prudent do-you-call
ALC. οὐ δῆτα.
not indeed
SOC. οὐδέ γε οἶμαι ὅστις τὸ πολεμεῖν αὐτὸ οἶδε χωρὶς
nor at-least I-think whoever the to-make-war itself knows apart-from
τοῦ ὁπότε βέλτιον καὶ τοσοῦτον χρόνον ὅσον βέλτιον.
the when better and so-long time as better
ἦ γάρ;
is-it-not for
ALC. ναί.
yes

SOC. οὐκοῦν οὐδὲ εἴ τίς τινα ἀποκτεινύναι οἶδεν οὐδὲ
therefore nor if anyone someone to-kill knows nor
χρήματα ἀφαιρεῖσθαι καὶ φυγάδα ποιεῖν τῆς πατρίδος,
property to-take-away and exile to-make from-the fatherland
χωρὶς τοῦ ὁπότε βέλτιον καὶ ὅντινα βέλτιον;
apart-from the when better and whom better

ALC. οὐ μέντοι.
not indeed

c SOC. ὅστις ἄρα τι τῶν τοιούτων οἶδεν, ἐὰν μὲν
whoever then anything of-the such knows if indeed
παρέπηται αὐτῷ ἡ τοῦ βελτίστου ἐπιστήμη — αὕτη δ'
accompanies him the of-the best knowledge this and
ἦν ἡ αὐτὴ δήπου ἥπερ καὶ ἡ τοῦ ὠφελίμου· ἦ γάρ;
was the same surely which-very also the of-the beneficial is-it-not for

ALC. ναί.
yes

SOC. φρόνιμον δέ γε αὐτὸν φήσομεν καὶ ἀποχρῶντα
prudent and at-least him we-will-call and sufficient
σύμβουλον καὶ τῇ πόλει καὶ αὐτὸν αὑτῷ· τὸν δὲ μὴ
counselor both to-the city and himself to-himself the-one and not
τοιοῦτον τἀναντία τούτων. ἢ πῶς δοκεῖ;
such the-opposite of-these or how does-it-seem

ALC. ἐμοὶ μὲν οὕτως.
to-me indeed so

d SOC. τί δ' εἴ τις ἱππεύειν ἢ τοξεύειν οἶδεν, ἢ αὖ
what and if anyone to-ride or to-shoot knows or again
πυκτεύειν ἢ παλαίειν ἤ τι τῆς ἄλλης ἀγωνίας ἢ καὶ
to-box or to-wrestle or anything of-the other contest or also
ἄλλο τι τῶν τοιούτων ὅσα τέχνῃ οἴδαμεν, τί
other anything of-the such as-many-as by-art we-know what

καλεῖς ὃς ἂν εἰδῇ τὸ κατὰ ταύτην τὴν τέχνην βέλτιον
do-you-call whoever — knows the according-to this the art better
γιγνόμενον; ἆρ᾽ οὐ τὸν κατὰ τὴν ἱππικὴν ἱππικόν;
coming-about then not the-one according-to the horsemanship horseman

ALC. ἔγωγε.
I-at-least

SOC. τὸν δέ γε οἶμαι κατὰ τὴν πυκτικὴν πυκτικόν,
the-one and at-least I-think according-to the boxing boxer
τὸν δὲ κατ᾽ αὐλητικὴν αὐλητικόν, καὶ τἆλλα
the-one and according-to flute-playing flute-player and the-other-things
δήπου ἀνὰ λόγον τούτοις· ἢ ἄλλως πως;
surely in proportion to-these or otherwise somehow

ALC. οὔκ, ἀλλ᾽ οὕτως.
no but so

SOC. δοκεῖ οὖν σοι ἀναγκαῖον εἶναι τὸν περὶ τούτων e
does-it-seem then to-you necessary to-be the-one about these
τι ἐπιστήμονα ὄντα ἄρα καὶ ἄνδρα φρόνιμον εἶναι, ἢ
anything knowing being then also man prudent to-be or
πολλοῦ φήσομεν ἐνδεῖν;
much shall-we-say to-fall-short

ALC. πολλοῦ μέντοι νὴ Δία.
much indeed by Zeus

V · MANY THINGS, ALL BADLY

Socrates asks what a city of experts lacking this knowledge would be: a poor one, says Alcibiades, full of disorder and lawlessness, Socrates adds. Most people are better neither knowing nor thinking they know, since they will act on it and be harmed. A city or a soul must cling to the knowledge of the best, as the sick to a doctor or a voyager to a pilot; without it, more wealth, strength, or learning means greater errors. Homer's Margites, who knew many things but all badly, is a riddle: knowing much was bad for him.

146 SOC. ποίαν οὖν οἴει πολιτείαν εἶναι τοξοτῶν τε
what-sort then do-you-think a-polity to-be of-archers both
ἀγαθῶν καὶ αὐλητῶν, ἔτι δὲ καὶ ἀθλητῶν τε καὶ τῶν
good and flute-players further and also of-athletes both and of-the
ἄλλων τεχνιτῶν, ἀναμεμειγμένων δ' ἐν τούτοις οὓς
other craftsmen mixed and among these whom
ἄρτι εἰρήκαμεν τῶν τε αὐτὸ τὸ πολεμεῖν εἰδότων καὶ
just-now we-have-mentioned of-those both itself the to-make-war knowing and
αὐτὸ τὸ ἀποκτεινύναι, πρὸς δὲ καὶ ἀνδρῶν ῥητορικῶν
itself the to-kill besides and also of-men oratorical
πολιτικὸν φύσημα φυσώντων, ἁπάντων δὲ τούτων ὄντων
political puff puffing all and these being
ἄνευ τῆς τοῦ βελτίστου ἐπιστήμης καὶ τοῦ εἰδότος,
without the of-the best knowledge and of-the-one knowing
ὁπότε βέλτιον ἑνὶ ἑκάστῳ τούτων χρῆσθαι καὶ πρὸς τίνα;
when better for-one each of-these to-use and toward whom
ALC. φαύλην τινὰ ἔγωγε, ὦ Σώκρατες.
poor some I-at-least O Socrates
SOC. φαίης γε ἂν οἶμαι ὁπόταν ὁρᾷς ἕνα ἕκαστον
you-would-say at-least — I-think whenever you-should-see one each
αὐτῶν φιλοτιμούμενόν τε καὶ νέμοντα τὸ πλεῖστον τῆς
of-them being-ambitious both and assigning the most of-the
πολιτείας
polity

τούτῳ μέρος,
to-this part
ἵν' αὐτὸς αὑτοῦ τυγχάνει κράτιστος ὤν·
where himself than-himself he-happens best being

λέγω δὲ τὸ κατ᾽ αὐτὴν τὴν τέχνην βέλτιστον b
I-mean and the according-to itself the art best
γιγνόμενον· τοῦ δὲ τῇ πόλει τε καὶ αὐτὸν αὑτῷ
becoming of-the and for-the city both and himself to-himself
βελτίστου ὄντος τὰ πολλὰ διημαρτηκότα, ἅτε οἶμαι
best being in-the many-things having-missed since I-think
ἄνευ νοῦ δόξῃ πεπιστευκότα. οὕτως δὲ τούτων ἐχόντων,
without mind to-opinion having-trusted so and these being
ἆρα οὐκ ἂν ὀρθῶς λέγοιμεν φάντες πολλῆς ταραχῆς
then not — rightly would-we-speak saying much confusion
τε καὶ ἀνομίας μεστὴν εἶναι τὴν τοιαύτην πολιτείαν;
both and lawlessness full to-be the such polity
ALC. ὀρθῶς μέντοι νὴ Δία.
rightly indeed by Zeus
SOC. οὐκοῦν ἀναγκαῖον ἡμῖν ἐδόκει οἰηθῆναι δεῖν
therefore necessary to-us it-seemed to-think to-be-needful
πρῶτον ἡμᾶς εἰδέναι ἢ τῷ ὄντι εἰδέναι τοῦτο ὃ ἂν
first us to-know or in-the reality to-know this which —
προχείρως μέλλωμεν ἢ πράττειν ἢ λέγειν;
readily we-are-about either to-do or to-say
ALC. ἐδόκει.
it-seemed
SOC. οὐκοῦν κἂν μὲν πράττῃ ἅ τις οἶδεν ἢ δοκεῖ c
therefore and-if indeed he-does what anyone knows or seems
εἰδέναι, παρέπηται δὲ τὸ ὠφελίμως, καὶ λυσιτελούντως
to-know accompanies and the beneficially and profitably
ἡμᾶς ἕξειν καὶ τῇ πόλει καὶ αὐτὸν αὑτῷ;
us to-fare both for-the city and himself for-himself
ALC. πῶς γὰρ οὔ;
how for not

SOC. ἐὰν δέ γ' οἶμαι τἀναντία τούτων, οὔτε τῇ πόλει
if but at-least I-think the-opposite of-these neither for-the city
οὔτ' αὐτὸν αὑτῷ;
nor himself for-himself
ALC. οὐ δῆτα.
not indeed
SOC. τί δέ; καὶ νῦν ἔτι ὡσαύτως σοι δοκεῖ ἢ ἄλλως
what and also now still likewise to-you does-it-seem or otherwise
πως;
somehow
ALC. οὔκ, ἀλλ' οὕτως.
no but so
SOC. ἆρ' οὖν ἔφησθα καλεῖν τοὺς μὲν πολλοὺς ἄφρονας,
so then did-you-say to-call the indeed many foolish
τοὺς δ' ὀλίγους φρονίμους;
the and few prudent
ALC. ἔγωγε.
I-at-least
SOC. οὐκοῦν φαμεν πάλιν τοὺς πολλοὺς διημαρτηκέναι τοῦ
therefore we-say again the many to-have-missed the
βελτίστου, ὡς τὰ πολλά γε οἶμαι ἄνευ νοῦ δόξῃ
best as in-the many-things at-least I-think without mind to-opinion
πεπιστευκότας.
having-trusted
d ALC. φαμὲν γάρ.
we-say for
SOC. Λυσιτελεῖ ἄρα τοῖς πολλοῖς μήτ' εἰδέναι μηδὲν μήτ'
It-profits then the many neither to-know anything nor
οἴεσθαι εἰδέναι, εἴπερ γε μᾶλλον προθυμήσονται πράττειν
to-think to-know if-indeed at-least more they-will-be-eager to-do

μὲν ταῦτα ἅττ᾽ ἂν εἰδῶσιν ἢ οἰηθῶσιν εἰδέναι, πράττοντες
indeed these-things whatever — they-know or think to-know doing
δὲ βλάπτεσθαι τὰ πλείω μᾶλλον ἢ ὠφελεῖσθαι.
and to-be-harmed in-the more rather than to-be-benefited
ALC. ἀληθέστατα λέγεις.
most-truly you-speak
SOC. ὁρᾷς οὖν, ὅτε γ᾽ ἔφην κινδυνεύειν τό γε e
you-see then when at-least I-said to-risk the at-least
τῶν ἄλλων ἐπιστημῶν κτῆμα, ἐάν τις ἄνευ τῆς τοῦ
of-the other knowledges possession if anyone without the of-the
βελτίστου ἐπιστήμης κεκτημένος ᾖ, ὀλιγάκις μὲν ὠφελεῖν,
best knowledge having-acquired be seldom indeed to-benefit
βλάπτειν δὲ τὰ πλείω τὸν ἔχοντα αὐτό, ἆρ᾽ οὐχὶ τῷ
to-harm and in-the more the-one having it then not in-the
ὄντι ὀρθῶς ἐφαινόμην λέγων;
reality rightly did-I-appear saying
ALC. καὶ εἰ μὴ τότε, ἀλλὰ νῦν μοι δοκεῖ, ὦ Σώκρατες.
and if not then but now to-me it-seems O Socrates
SOC. δεῖ ἄρα καὶ πόλιν καὶ ψυχὴν τὴν μέλλουσαν ὀρθῶς 147
it-is-needful then both city and soul the about rightly
βιώσεσθαι ταύτης τῆς ἐπιστήμης ἀντέχεσθαι, ἀτεχνῶς
to-live of-this the knowledge to-hold-to simply
ὥσπερ ἀσθενοῦντα ἰατροῦ ἤ τινος κυβερνήτου τὸν
as being-sick of-a-doctor or of-some pilot the-one
ἀσφαλῶς μέλλοντα πλεῖν. ἄνευ γὰρ ταύτης, ὅσῳπερ ἂν
safely about to-sail without for this by-as-much-as —
λαμπρότερον ἐπουρίσῃ τὸ τῆς τύχης ἢ περὶ χρημάτων
more-brilliantly blows-fair the of-the fortune either about of-property
κτῆσιν ἢ σώματος ῥώμην ἢ καὶ ἄλλο τι τῶν τοιούτων,
acquisition or of-body strength or also other anything of-the such
τοσούτῳ μείζω ἁμαρτήματα ἀπ᾽ αὐτῶν ἀναγκαῖόν ἐστιν, ὡς
by-so-much greater errors from them necessary it-is as

ἔοικε, γίγνεσθαι. ὁ δὲ δὴ τὴν καλουμένην πολυμαθίαν
it-seems to-come-about the-one and indeed the so-called much-learning
τε καὶ πολυτεχνίαν κεκτημένος, ὀρφανὸς δὲ ὢν ταύτης τῆς
both and many-arts having-acquired orphaned and being of-this the
ἐπιστήμης, ἀγόμενος δὲ ὑπὸ μιᾶς ἑκάστης τῶν ἄλλων, ἆρ'
knowledge led and by one each of-the others then
οὐχὶ τῷ ὄντι δικαίως πολλῷ χειμῶνι χρήσεται, ἅτε οἶμαι
not in-the reality justly much storm will-meet since I-think
ἄνευ κυβερνήτου διατελῶν ἐν πελάγει, χρόνον οὐ μακρὸν
without pilot continuing in open-sea time not long
βίου θέων; ὥστε συμβαίνειν μοι δοκεῖ καὶ ἐνταῦθα τὸ τοῦ
of-life running so-that to-happen to-me seems also here the of-the
ποιητοῦ, ὃ λέγει κατηγορῶν πού τινος, ὡς ἄρα πολλὰ
poet which he-says accusing somewhere someone that after-all many
μὲν ἠπίστατο ἔργα, κακῶς δέ, φησίν, ἠπίστατο πάντα.
indeed he-knew works badly but he-says he-knew all

ALC. καὶ τί δή ποτε συμβαίνει τὸ τοῦ ποιητοῦ, ὦ
and why indeed ever does-it-apply the of-the poet O
Σώκρατες; ἐμοὶ μὲν γὰρ οὐδ' ὁτιοῦν δοκεῖ πρὸς
Socrates to-me indeed for not anything-whatever he-seems to
λόγον εἰρηκέναι.
purpose to-have-said

c SOC. καὶ μάλα γε πρὸς λόγον· ἀλλ' αἰνίττεται, ὦ
and very at-least to purpose but he-speaks-in-riddles O
βέλτιστε, καὶ οὗτος καὶ ἄλλοι δὲ ποιηταὶ σχεδόν τι πάντες.
best both this-one and the-others and poets nearly — all
ἔστιν τε γὰρ φύσει ποιητικὴ ἡ σύμπασα αἰνιγματώδης καὶ
it-is both for by-nature poetry the all-together riddling and
οὐ τοῦ προστυχόντος ἀνδρὸς γνωρίσαι· ἔτι τε πρὸς τῷ
not of-the chance-met man to-understand further both besides the
φύσει τοιαύτη εἶναι, ὅταν λάβηται ἀνδρὸς φθονεροῦ τε
by-nature such to-be when it-takes-hold-of a-man envious both

καὶ μὴ βουλομένου ἡμῖν ἐνδείκνυσθαι ἀλλ᾽ ἀποκρύπτεσθαι
and not wishing to-us to-show but to-hide
ὅτι μάλιστα τὴν αὑτοῦ σοφίαν, ὑπερφυῶς δὴ τὸ χρῆμα
as most the his-own wisdom extraordinarily indeed the thing
ὡς δύσγνωστον φαίνεται, ὅτι ποτὲ νοοῦσιν ἕκαστος
how hard-to-understand appears what ever mean each
αὐτῶν. οὐ γὰρ δήπου Ὅμηρόν γε τὸν θειότατόν τε καὶ
of-them not for surely Homer at-least the most-divine both and
σοφώτατον ποιητὴν ἀγνοεῖν δοκεῖς ὡς οὐχ οἷόν τε ἦν
wisest poet not-to-know do-you-think that not possible — was
ἐπίστασθαι κακῶς — ἐκεῖνος γάρ ἐστιν ὁ λέγων τὸν
to-know badly that-one for is the-one saying —
Μαργίτην πολλὰ μὲν ἐπίστασθαι, κακῶς δέ, φησί, πάντα
Margites many-things indeed to-know badly but he-says all
ἠπίστατο — ἀλλ᾽ αἰνίττεται οἶμαι παράγων τὸ κακῶς μὲν
he-knew but he-speaks-in-riddles I-think substituting the badly indeed
ἀντὶ τοῦ κακοῦ, τὸ δὲ ἠπίστατο ἀντὶ τοῦ ἐπίστασθαι·
instead-of the bad the and he-knew instead-of the to-know
γίγνεται οὖν συντεθὲν ἔξω μὲν τοῦ μέτρου, ἔστι δ᾽ ὅ
it-becomes then put-together outside indeed of-the meter it-is but what
γε βούλεται, ὡς πολλὰ μὲν ἠπίστατο ἔργα, κακὸν δ᾽ ἦν
at-least he-means that many indeed he-knew works bad but was
ἐπίστασθαι αὐτῷ πάντα ταῦτα. δῆλον οὖν ὅτι εἴπερ ἦν
to-know for-him all these-things clear then that if-indeed it-was
αὐτῷ κακὸν τὸ πολλὰ εἰδέναι, φαῦλός τις ὢν ἐτύγχανεν,
for-him bad the many-things to-know poor some being he-happened
εἴπερ γε πιστεύειν δεῖ τοῖς προειρημένοις λόγοις.
if-indeed at-least to-trust it-is-needful the before-said arguments
ALC. ἀλλ᾽ ἐμοὶ μὲν δοκεῖ, ὦ Σώκρατες· ἦ χαλεπῶς γ᾽ e
but to-me indeed it-seems O Socrates truly with-difficulty at-least
ἂν ἄλλοις τισὶ πιστεύσαιμι λόγοις, εἴπερ μηδὲ τούτοις.
— other some would-I-trust arguments if-indeed not-even these

SOC. καὶ ὀρθῶς γέ σοι δοκεῖ.
and rightly at-least to-you it-seems
ALC. πάλιν αὖ μοι δοκεῖ.
again in-turn to-me it-seems

VI · THE SPARTANS' PRAYER

Alcibiades, wavering up and down, admits that prayer needs great care. The Spartans pray only that the gods give them the fine with the good, and fare as well as anyone. Asked why the always-beaten Athenians lost despite finer sacrifices, Ammon preferred the Spartans' reverent words to all the Greeks' rites: their prayer, Socrates says, since others pray for good and bad alike. Troy's hecatombs did not help it, for the gods hated it; they are not bribed like a bad moneylender, but look to whether a soul is holy and just.

148 SOC. ἀλλὰ φέρε πρὸς Διός — ὁρᾷς γὰρ δήπου τὴν ἀπορίαν
but come by Zeus you-see for surely the perplexity
ὅση τε καὶ οἵα, ταύτης δὲ καὶ σύ μοι δοκεῖς
how-great both and what-sort of-this and also you to-me seem
κεκοινωνηκέναι· μεταβαλλόμενός γέ τοι ἄνω καὶ κάτω οὐδ'
to-have-shared changing at-least surely up and down nor
ὁτιοῦν παύῃ, ἀλλ' ὅτι ἂν μάλιστά σοι δόξῃ, τοῦτο
anything-whatever do-you-stop but whatever — most to-you seems this
καὶ ἐκδεδυκέναι αὖ καὶ οὐκέτι ὡσαύτως δοκεῖν — εἰ οὖν
also to-have-shed again and no-longer likewise to-seem if then
σοί γ' ἔτι καὶ νῦν ἐμφανὴς γενόμενος ὁ θεὸς πρὸς ὃν
to-you at-least still even now manifest having-become the god to whom
τυγχάνεις πορευόμενος ἐρωτήσειε, πρὶν ὁτιοῦν εὔξασθαί
you-happen going should-ask before anything-whatever to-pray
σε, εἰ ἐξαρκέσει σοι ἐκείνων τι γενέσθαι ὧνπερ καὶ
you whether it-will-suffice for-you of-those any to-come-about which-very also

ἐν ἀρχῇ ἐλέγετο, εἴτε καὶ αὐτῷ σοι ἐπιτρέψειεν εὔξασθαι,
at beginning were-said or also yourself to-you should-permit to-pray
τί ποτ' ἂν οἴει ἢ τῶν παρ' ἐκείνου διδομένων
what ever — do-you-think either of-the from that-one given
λαμβάνων ἢ αὐτὸς εὐξάμενος γενέσθαι τοῦ καιροῦ τυχεῖν;
taking or yourself having-prayed to-come-about the right-moment to-hit
ALC. ἀλλὰ μὰ τοὺς θεούς, ἐγὼ μὲν οὐθὲν ἂν ἔχοιμί σοι b
but by the gods I indeed nothing — could to-you
εἰπεῖν, ὦ Σώκρατες, οὕτως· ἀλλὰ μάργον τί μοι
say O Socrates so but foolish something to-me
δοκεῖ εἶναι, καὶ ὡς ἀληθῶς πολλῆς φυλακῆς, ὅπως μὴ
seems to-be and as truly much watchfulness so-that not
λήσει τις αὑτὸν εὐχόμενος μὲν κακά, δοκῶν δὲ
will-escape-notice anyone himself praying indeed evils thinking but
τἀγαθά, ἔπειτ' ὀλίγον ἐπισχών, ὅπερ καὶ σὺ ἔλεγες,
the-goods then little having-waited which-very also you said
παλινῳδῇ, ἀνευχόμενος ἅττ' ἂν τὸ πρῶτον εὔξηται.
he-recants unpraying whatever — the first he-prayed
SOC. ἆρ' οὖν οὐχὶ εἰδώς τι πλέον ἡμῶν ὁ ποιητής,
so then not knowing something more than-us the poet
οὗ καὶ ἐν ἀρχῇ τοῦ λόγου ἐπεμνήσθην, τὰ δειλὰ καὶ
whom also at beginning of-the argument I-mentioned the bad-things even
εὐχομένοις ἀπαλέξειν ἐκέλευεν;
praying to-ward-off bade
ALC. ἔμοιγε δοκεῖ.
to-me-at-least it-seems
SOC. τοῦτον μὲν τοίνυν, ὦ Ἀλκιβιάδη, καὶ Λακεδαιμόνιοι τὸν 149
this-one indeed then O Alcibiades also Lacedaemonians the
ποιητὴν ἐζηλωκότες, εἴτε καὶ αὐτοὶ οὕτως ἐπεσκεμμένοι, καὶ
poet having-emulated or also themselves so having-considered both
ἰδίᾳ καὶ δημοσίᾳ ἑκάστοτε παραπλησίαν εὐχὴν εὔχονται,
privately and publicly each-time similar prayer pray

τὰ καλὰ ἐπὶ τοῖς ἀγαθοῖς τοὺς θεοὺς διδόναι κελεύοντες
the fine-things upon the good-things the gods to-give bidding
αὖ σφίσιν αὐτοῖς· πλείω δ' οὐδεὶς ἂν ἐκείνων εὐξαμένων
in-turn to-them themselves more but no-one — of-those praying
ἀκούσειεν. τοιγαροῦν εἰς τὸ παρῆκον τοῦ χρόνου οὐδένων
would-hear therefore into the past of-the time than-none
ἧττον εὐτυχεῖς εἰσιν ἄνθρωποι· εἰ δ' ἄρα καὶ συμβέβηκεν
less fortunate are humans if but after-all also it-has-befallen
αὐτοῖς ὥστε μὴ πάντα εὐτυχεῖν, ἀλλ' οὖν οὐ διὰ τὴν
them so-as not all-things to-prosper but anyway not because-of the
ἐκείνων εὐχήν, ἐπὶ τοῖς θεοῖς δ' ἐστὶν ὥστε οἶμαι καὶ διδόναι
of-those prayer upon the gods but it-is so-that I-think both to-give
ἅττ' ἄν τις εὐχόμενος τυγχάνῃ καὶ τἀναντία τούτων.
what-things — anyone praying happens and the-opposite-things of-these
βούλομαι δέ σοι καὶ ἕτερόν τι διηγήσασθαι, ὅ ποτε
I-wish and to-you also another something to-narrate which once
ἤκουσα τινῶν, ὡς Ἀθηναίοις καὶ Λακεδαιμονίοις διαφορᾶς
I-heard from-some that to-Athenians and Lacedaemonians a-difference
γενομένης συνέβαινεν ἀεὶ τῇ πόλει ἡμῶν ὥστε καὶ κατὰ
having-arisen it-befell always to-the city our so-that both on
γῆν καὶ κατὰ θάλατταν ὁπότε μάχη γένοιτο δυστυχεῖν
land and on sea whenever battle happened to-be-unfortunate
καὶ μηδέποτε δύνασθαι κρατῆσαι· τοὺς οὖν Ἀθηναίους
and never to-be-able to-prevail the then Athenians
ἀγανακτοῦντας τῷ πράγματι καὶ ἀπορουμένους τίνι
vexed at-the thing and at-a-loss by-what
χρὴ μηχανῇ τῶν παρόντων κακῶν ἀποτροπὴν εὑρεῖν,
it-is-needful device of-the present evils averting to-find
βουλευομένοις αὐτοῖς δοκεῖν κράτιστον εἶναι πέμψαντας πρὸς
deliberating to-them it-seemed best to-be having-sent to
Ἄμμωνα ἐκεῖνον ἐπερωτᾶν· ἔτι δὲ πρὸς τούτοις τάδε, ἀνθ'
Ammon that-one to-ask further and besides these these-things for

ὅτου ποτὲ Λακεδαιμονίοις οἱ θεοὶ μᾶλλον νίκην διδόασιν ἢ
what ever to-Lacedaemonians the gods rather victory give than
σφίσιν αὐτοῖς, οἳ πλείστας, φάναι, μὲν θυσίας καὶ καλλίστας
to-them themselves who most to-say indeed sacrifices and finest
τῶν Ἑλλήνων ἄγομεν, ἀναθήμασί τε κεκοσμήκαμεν τὰ ἱερὰ
of-the Greeks we-bring with-offerings both we-have-adorned the temples
αὐτῶν ὡς οὐδένες ἄλλοι, πομπάς τε πολυτελεστάτας καὶ
of-them as no others processions both most-costly and
σεμνοτάτας ἐδωρούμεθα τοῖς θεοῖς ἀν' ἕκαστον ἔτος, καὶ
most-solemn we-presented to-the gods throughout each year and
ἐτελοῦμεν χρήματα ὅσα οὐδ' ἅλλοι σύμπαντες Ἕλληνες·
we-paid money as-much-as not-even the-other all-together Greeks
Λακεδαιμονίοις δέ, φάναι, οὐδεπώποτ' ἐμέλησεν οὐδὲν b
to-Lacedaemonians but to-say never did-it-matter none
τούτων, ἀλλ' οὕτως ὀλιγώρως διάκεινται πρὸς τοὺς θεούς,
of-these but so negligently they-are-disposed toward the gods
ὥστε καὶ ἀνάπηρα θύουσιν ἑκάστοτε καὶ τἆλλα πάντα
so-that even maimed-victims they-sacrifice each-time and the-other-things all
οὐκ ὀλίγῳ ἐνδεεστέρως τιμῶσιν ἤπερ ἡμεῖς, χρήματα
not by-little more-deficiently they-honor than we money
οὐδὲν ἐλάττω κεκτημένοι τῆς ἡμετέρας πόλεως. ἐπεὶ δὴ
no less having-acquired than-the our city when indeed
εἰρηκέναι ταῦτα καὶ ἐπερωτῆσαι τί χρὴ πράττοντας
to-have-said these-things and to-have-asked what it-is-needful doing
αὐτοὺς τῶν παρόντων κακῶν ἀπαλλαγὴν εὑρεῖν, ἄλλο μὲν
them of-the present evils release to-find other indeed
οὐθὲν ἀποκριθῆναι τὸν προφήτην — τὸν γὰρ θεὸν οὐκ
nothing to-have-answered the prophet the for god not
ἐᾶν δῆλον ὅτι — καλέσαντα δὲ αὐτόν, Ἀθηναίοις, φάναι,
to-allow clear that having-called but him Athenians to-say
τάδε λέγει Ἄμμων· φησὶν ἂν βούλεσθαι αὑτῷ τὴν
these-things says Ammon he-says — to-wish for-himself the

Λακεδαιμονίων εὐφημίαν εἶναι μᾶλλον ἢ τὰ σύμπαντα
of-Lacedaemonians auspicious-speech to-be rather than the all-together
τῶν Ἑλλήνων ἱερά. τοσαῦτα εἰπεῖν, οὐκέτι περαιτέρω.
of-the Greeks sacred-rites so-much to-have-said no-longer further
τήν γ' οὖν εὐφημίαν οὐκ ἄλλην τινά μοι δοκεῖ λέγειν
the at-least then auspicious-speech not other some to-me seems to-mean
ὁ θεὸς ἢ τὴν εὐχὴν αὐτῶν· ἔστι γὰρ τῷ ὄντι πολὺ
the god than the prayer of-them it-is for in-the reality much
διαφέρουσα τῶν ἄλλων. οἱ μὲν γὰρ ἄλλοι Ἕλληνες
differing from-the others the indeed for other Greeks
οἱ μὲν χρυσόκερως βοῦς παραστησάμενοι, ἕτεροι δ'
the-ones indeed gold-horned oxen having-set-beside others and
ἀναθήμασι δωρούμενοι τοὺς θεούς, εὔχονται ἅττ' ἂν τύχῃ
with-offerings presenting the gods pray whatever — it-happens
ταῦτα, ἄντε ἀγαθὰ ἄντε κακά· βλασφημούντων οὖν αὐτῶν
these-things whether good or bad blaspheming then them
ἀκούοντες οἱ θεοὶ οὐκ ἀποδέχονται τὰς πολυτελεῖς ταυτασὶ
hearing the gods not accept the costly these
πομπάς τε καὶ θυσίας. ἀλλὰ δοκεῖ μοι πολλῆς φυλακῆς
processions both and sacrifices but it-seems to-me much watchfulness
δεῖσθαι καὶ σκέψεως ὅτι ποτὲ ῥητέον ἐστὶ καὶ μή.
to-need and consideration what ever must-be-said is and not
d εὑρήσεις δὲ καὶ παρ' Ὁμήρῳ ἕτερα παραπλήσια τούτοις
you-will-find and also in Homer other-things similar to-these
εἰρημένα. φησὶν γὰρ τοὺς Τρῶας ἔπαυλιν ποιουμένους
said he-says for the Trojans camp making

ἔρδειν ἀθανάτοισι τελήεσσας ἑκατόμβας·
to-offer to-immortals perfect hecatombs

τὴν δὲ κνῖσαν ἐκ τοῦ πεδίου τοὺς ἀνέμους φέρειν οὐρανὸν
the and savor from the plain the winds to-carry heaven
εἴσω
into

ἡδεῖαν· τῆς δ᾽ οὔ τι θεοὺς μάκαρας δατέεσθαι,
sweet of-it but not at-all gods blessed to-partake
οὐδ᾽ ἐθέλειν· μάλα γάρ σφιν ἀπήχθετο Ἴλιος ἱρὴ
nor to-be-willing very for to-them was-hateful Ilios holy
καὶ Πρίαμος καὶ λαὸς ἐυμμελίω Πριάμοιο· e
and Priam and people of-good-ash-spear of-Priam

ὥστε οὐδὲν αὐτοῖς ἦν προύργου θύειν τε καὶ δῶρα τελεῖν 150
so-that nothing for-them was profit to-sacrifice both and gifts to-pay
μάτην, θεοῖς ἀπηχθημένους. οὐ γὰρ οἶμαι τοιοῦτόν ἐστι
in-vain to-gods hated not for I-think such is
τὸ τῶν θεῶν ὥστε ὑπὸ δώρων παράγεσθαι οἷον κακὸν
the of-the gods so-as by gifts to-be-led-astray like bad
τοκιστήν· ἀλλὰ καὶ ἡμεῖς εὐήθη λόγον λέγομεν, ἀξιοῦντες
usurer but also we simple argument speak thinking-fit
Λακεδαιμονίων ταύτῃ περιεῖναι. καὶ γὰρ ἂν δεινὸν εἴη
than-Lacedaemonians in-this to-excel and for — terrible it-would-be
εἰ πρὸς τὰ δῶρα καὶ τὰς θυσίας ἀποβλέπουσιν ἡμῶν
if to the gifts and the sacrifices look of-us
οἱ θεοὶ ἀλλὰ μὴ πρὸς τὴν ψυχήν, ἄν τις ὅσιος καὶ
the gods but not to the soul if anyone holy and
δίκαιος ὢν τυγχάνῃ.
just being happens

Justice and prudence are honored by gods and sensible men, and the just and prudent are those who know what to say and do toward gods and men. Alcibiades agrees. Since he might pray blasphemously without knowing it, Socrates thinks it safest to wait until someone teaches him how to behave toward gods and men, removing the mist from his soul as Athena did from Diomedes' eyes. Alcibiades will put off his sacrifice until then, and crowns Socrates with his garland. Socrates accepts it as Creon took Tiresias' garlands, as an omen of victory over Alcibiades' other lovers.

b soc. πολλῷ γε μᾶλλον οἶμαι ἢ πρὸς τὰς πολυτελεῖς
by-much at-least more I-think than to the costly
ταύτας πομπάς τε καὶ θυσίας, ἃς οὐδὲν κωλύει πολλὰ
these processions both and sacrifices which nothing prevents many-things
μὲν εἰς θεούς, πολλὰ δ' εἰς ἀνθρώπους ἡμαρτηκότας
indeed against gods many-things and against humans having-erred
καὶ ἰδιώτην καὶ πόλιν ἔχειν ἀν' ἕκαστον ἔτος
both individual and city to-be-able throughout each year
τελεῖν· οἱ δέ, ἅτε οὐ δωροδόκοι ὄντες, καταφρονοῦσιν
to-pay they and since not bribe-takers being despise
ἁπάντων τούτων, ὥς φησιν ὁ θεὸς καὶ θεῶν προφήτης.
all these as says the god and of-gods prophet
κινδυνεύει γοῦν καὶ παρὰ θεοῖς καὶ παρ' ἀνθρώποις
it-is-likely at-any-rate both among gods and among humans
τοῖς νοῦν ἔχουσι δικαιοσύνη τε καὶ φρόνησις διαφερόντως
those mind having justice both and prudence exceptionally
τετιμῆσθαι· φρόνιμοι δὲ καὶ δίκαιοι οὐκ ἄλλοι τινές
to-have-been-honored prudent but and just not others any
εἰσιν τῶν εἰδότων ἃ δεῖ πράττειν καὶ λέγειν καὶ
are than-those knowing what it-is-needful to-do and to-say both

πρὸς θεοὺς καὶ πρὸς ἀνθρώπους. βουλοίμην δ' ἂν καὶ
toward gods and toward humans I-would-wish and — also
σοῦ πυθέσθαι ὅτι ποτ' ἐν νῷ ἔχεις πρὸς ταῦτα.
from-you to-learn what ever in mind you-have toward these-things
ALC. ἀλλ' ἐμοὶ μέν, ὦ Σώκρατες, οὐκ ἄλλῃ πῃ δοκεῖ
but to-me indeed O Socrates not other in-any-way it-seems
ἢ ἥπερ σοί τε καὶ τῷ θεῷ· οὐδὲ γὰρ ἂν εἰκὸς εἴη
than as-very to-you both and to-the god nor for — likely would-it-be
ἀντίψηφον ἐμὲ τῷ θεῷ γενέσθαι.
voting-against me the god to-become
SOC. οὐκοῦν μέμνησαι ἐν πολλῇ ἀπορίᾳ φάσκων εἶναι, c
therefore do-you-remember in much perplexity saying to-be
ὅπως μὴ λάθῃς σεαυτὸν εὐχόμενος κακά,
so-that not you-should-escape-the-notice-of yourself praying-for evils
δοκῶν δὲ ἀγαθά;
thinking-them but goods
ALC. ἔγωγε.
I-at-least
SOC. ὁρᾷς οὖν ὡς οὐκ ἀσφαλές σοί ἐστιν ἐλθεῖν πρὸς τὸν d
you-see then how not safe for-you it-is to-go to the
θεὸν εὐξομένῳ, ἵνα μηδ' ἂν οὕτω τύχῃ, βλασφημοῦντός
god going-to-pray so-that not-even if so it-happen blaspheming
σου ἀκούων οὐθὲν ἀποδέξηται τῆς θυσίας ταύτης, τυχὸν
you hearing nothing he-may-accept of-the sacrifice this perhaps
δὲ καὶ ἕτερόν τι προσαπολαύσῃς. ἐμοὶ μὲν οὖν δοκεῖ
and also other something you-may-reap-besides to-me indeed then it-seems
βέλτιστον εἶναι ἡσυχίαν ἔχειν· τῇ μὲν γὰρ Λακεδαιμονίων
best to-be quiet to-keep the indeed for of-Lacedaemonians
εὐχῇ διὰ τὴν μεγαλοψυχίαν — τοῦτο γὰρ κάλλιστον τῶν
prayer because-of the high-mindedness this for finest of-the
ἐν ἀφροσύνῃ γε ὀνομάτων — οὐκ ἂν οἶμαί σε ἐθέλειν
in folly at-least names not — I-think you to-be-willing

χρῆσθαι. ἀναγκαῖον οὖν ἐστι περιμένειν ἕως ἄν τις μάθῃ
to-use necessary then it-is to-wait until — anyone learns
ὡς δεῖ πρὸς θεοὺς καὶ πρὸς ἀνθρώπους διακεῖσθαι.
how it-is-needful toward gods and toward humans to-be-disposed
ALC. πότε οὖν παρέσται ὁ χρόνος οὗτος, ὦ Σώκρατες,
when then will-be-present the time this O Socrates
καὶ τίς ὁ παιδεύσων; ἥδιστα γὰρ ἄν μοι δοκῶ ἰδεῖν
and who the-one going-to-educate most-gladly for — to-me I-seem to-see
τοῦτον τὸν ἄνθρωπον τίς ἐστιν.
this the human who he-is
SOC. οὗτος ᾧ μέλει περὶ σοῦ. ἀλλὰ δοκεῖ μοι,
this-one to-whom it-is-a-care about you but it-seems to-me
ὥσπερ τῷ Διομήδει φησὶν τὴν Ἀθηνᾶν Ὅμηρος ἀπὸ τῶν
as — from-Diomedes says — Athena Homer from the
ὀφθαλμῶν ἀφελεῖν τὴν ἀχλύν,
eyes to-have-taken-away the mist

ὅφρ᾽ εὖ γιγνώσκοι ἠμὲν θεὸν ἠδὲ καὶ ἄνδρα,
so-that well he-might-know both god and also man

e οὕτω καὶ σοὶ δεῖν ἀπὸ τῆς ψυχῆς πρῶτον τὴν ἀχλὺν
so also from-you to-need from the soul first the mist
ἀφελόντα, ἣ νῦν παροῦσα τυγχάνει, τὸ τηνικαῦτ᾽ ἤδη
having-taken-away which now being-present happens the then already
προσφέρειν δι᾽ ὧν μέλλεις γνώσεσθαι ἠμὲν κακὸν ἠδὲ
to-apply through which you-are-going to-know both evil and
καὶ ἐσθλόν. νῦν μὲν γὰρ οὐκ ἄν μοι δοκεῖς δυνηθῆναι.
also good now indeed for not — to-me you-seem to-be-able
ALC. ἀφαιρείτω, εἴτε βούλεται τὴν ἀχλὺν εἴτε ἄλλο τι·
let-him-take-away whether he-wishes the mist or other anything
ὡς ἐγὼ παρεσκεύασμαι μηθὲν ἂν φυγεῖν τῶν ὑπ᾽ ἐκείνου
for I am-prepared nothing — to-flee of-the by that-one

προσταττομένων, ὅστις ποτ' ἐστὶν ἄνθρωπος, εἴ γε
ordered whoever ever is the-man if at-least
μέλλοιμι βελτίων γενέσθαι.
I-were-going better to-become

SOC. ἀλλὰ μὴν κἀκεῖνος θαυμαστὴν ὅσην περὶ σὲ 151
but indeed also-that-one wonderful how-great about you
προθυμίαν ἔχει.
eagerness has

ALC. εἰς τότε τοίνυν καὶ τὴν θυσίαν ἀναβάλλεσθαι
until then then also the sacrifice to-put-off
κράτιστον εἶναί μοι δοκεῖ.
best to-be to-me it-seems

SOC. καὶ ὀρθῶς γέ σοι δοκεῖ· ἀσφαλέστερον γάρ ἐστιν
and rightly at-least to-you it-seems safer for it-is
ἢ παρακινδυνεύειν τοσοῦτον κίνδυνον.
than to-run so-great risk

ALC. ἀλλὰ πῶς, ὦ Σώκρατες; καὶ μὴν τουτονὶ τὸν b
but how O Socrates and indeed this-here the
στέφανον, ἐπειδή μοι δοκεῖς καλῶς συμβεβουλευκέναι, σοὶ
garland since to-me you-seem finely to-have-advised on-you
περιθήσω· τοῖς θεοῖς δὲ καὶ στεφάνους καὶ τἆλλα πάντα
I-will-put to-the gods and both garlands and the-other-things all
τὰ νομιζόμενα τότε δώσομεν, ὅταν ἐκείνην τὴν ἡμέραν
the customary then we-will-give when that the day
ἐλθοῦσαν ἴδω. ἥξει δ' οὐ διὰ μακροῦ τούτων θελόντων.
having-come I-see it-will-come and not after long these being-willing

SOC. ἀλλὰ δέχομαι καὶ τοῦτο, καὶ ἄλλο δὲ ἄν τι τῶν
but I-accept both this and other and — anything of-the
παρὰ σοῦ δοθέντων ἡδέως ἴδοιμι δεξάμενον ἐμαυτόν.
from you given gladly would-I-see having-accepted myself
ὥσπερ δὲ καὶ ὁ Κρέων Εὐριπίδῃ πεποίηται τὸν Τειρεσίαν
as and also — Creon by-Euripides has-been-made — Tiresias

ἰδὼν ἔχοντα τὰ στέφη καὶ ἀκούσας ἀπὸ τῶν πολεμίων
having-seen having the garlands and having-heard from the enemies
ἀπαρχὰς αὐτὸν εἰληφέναι διὰ τὴν τέχνην,
first-fruits him to-have-taken because-of the art

οἰωνὸν ἐθέμην, φησί, καλλίνικα σὰ στέφη·
as-an-omen I-took he-says victorious your garlands
ἐν γὰρ κλύδωνι κείμεθ', ὥσπερ οἶσθα σύ·
in for surge we-lie as know you

c οὕτω δὲ κἀγὼ παρὰ σοῦ τὴν δόξαν ταύτην οἰωνὸν τίθεμαι.
having-taken-up then the wiser said that finest these-things
εἴη τῶν μαθημάτων καὶ προσήκοντα ἀφ' ὧν ἂν πλείστην
would-be of-the learnings and fitting from which — most
δόξαν ἔχοι τις εἰς φιλοσοφίαν· πλείστην δ' ἂν ἔχοι
reputation could-have anyone for philosophy most and — he-could-have
δόξαν, εἰ δοκοίη τῶν τεχνῶν ἔμπειρος εἶναι πασῶν, εἰ
reputation if he-should-seem of-the arts experienced to-be of-all if
δὲ μή, ὡς πλείστων γε καὶ μάλιστα τῶν ἀξιολόγων,
but not as of-the-most at-least and most of-the noteworthy
μαθὼν αὐτῶν ταῦτα ἃ προσήκει τοῖς ἐλευθέροις
having-learned of-them these-things which befit for-the free
μαθεῖν, ὅσα συνέσεως ἔχεται, μὴ ὅσα χειρουργίας.
to-learn as-many-as of-understanding hold-to not as-many-as of-handwork
c ἆρ' οὖν οὕτω λέγεις, ἔφην ἐγώ, ὥσπερ ἐν τῇ τεκτονικῇ;
so then so do-you-mean I-said I as in the carpentry
καὶ γὰρ ἐκεῖ τέκτονα μὲν ἂν πρίαιο πέντε ἢ ἓξ μνῶν,
and for there a-carpenter indeed — you-could-buy for-five or six minae
ἄκρον ἀρχιτέκτονα δὲ οὐδ' ἂν μυρίων δραχμῶν·
top master-builder but not-even — for-ten-thousand drachmas

ὀλίγοι γε μὴν κἂν ἐν πᾶσι τοῖς Ἕλλησι γίγνοιντο.
few at-least indeed even among all the Greeks might-be
ἆρα μή τι τοιοῦτον λέγεις; καὶ ὃς ἀκούσας μου
then not something such do-you-mean and he having-heard me
συνεχώρει καὶ αὐτὸς λέγειν τοιοῦτον.
agreed also himself to-mean such
ἠρόμην δ' αὐτὸν εἰ οὐκ ἀδύνατον εἴη δύο μόνας τέχνας d
I-asked and him if not impossible it-were two only arts
οὕτω μαθεῖν τὸν αὐτόν, μὴ ὅτι πολλὰς καὶ μεγάλας· ὁ δέ,
so to-learn the same not to-say many and great he and
μὴ οὕτως μου, ἔφη, ὑπολάβῃς, ὦ Σώκρατες, ὡς λέγοντος ὅτι
not so me he-said take-it O Socrates as saying that
δεῖ ἑκάστην τῶν τεχνῶν τὸν φιλοσοφοῦντα ἐπίστασθαι
it-is-needful each of-the arts the philosophizing to-know
ἀκριβῶς ὥσπερ αὐτὸν τὸν τὴν τέχνην ἔχοντα, ἀλλ' ὡς εἰκὸς
exactly as himself the-one the art having but as is-likely
ἄνδρα ἐλεύθερόν τε καὶ πεπαιδευμένον, ἐπακολουθῆσαί τε
a-man free both and educated to-follow both
τοῖς λεγομένοις ὑπὸ τοῦ δημιουργοῦ οἷόν τ' εἶναι διαφερόντως
the things-said by the craftsman able — to-be exceptionally
τῶν παρόντων, καὶ αὐτὸν ξυμβάλλεσθαι γνώμην, ὥστε
beyond-those present and himself to-contribute opinion so-as
δοκεῖν χαριέστατον εἶναι καὶ σοφώτατον τῶν ἀεὶ παρόντων
to-seem most-accomplished to-be and wisest of-those ever present
ἐν τοῖς λεγομένοις τε καὶ πραττομένοις περὶ τὰς τέχνας.
in the things-said both and done about the arts
κἀγώ, ἔτι γὰρ αὐτοῦ ἠμφεγνόουν τὸν λόγον ὅτι ἐβούλετο, e
and-I still for of-him I-was-doubtful-about the argument what he-wished
ἆρ' ἐννοῶ, ἔφην, οἷον λέγεις τὸν φιλόσοφον ἄνδρα;
then do-I-understand I-said what-sort you-mean the philosophic man
δοκεῖς γάρ μοι λέγειν οἷοι ἐν τῇ ἀγωνίᾳ εἰσὶν οἱ πένταθλοι
you-seem for to-me to-mean such-as in the contest are the pentathletes

πρὸς τοὺς δρομέας ἢ τοὺς παλαιστάς. καὶ γὰρ ἐκεῖνοι τούτων
against the runners or the wrestlers and for those of-these
μὲν λείπονται κατὰ τὰ τούτων ἆθλα καὶ δεύτεροί εἰσι πρὸς
indeed fall-short in the of-these contests and second are against
τούτους, τῶν δ' ἄλλων ἀθλητῶν πρῶτοι καὶ νικῶσιν αὐτούς.
these of-the but other athletes first and they-beat them
136 τάχ' ἂν ἴσως τοιοῦτόν τι λέγοις καὶ τὸ φιλοσοφεῖν
perhaps — perhaps such something you-might-mean also the to-philosophize
ἀπεργάζεσθαι τοὺς ἐπιτηδεύοντας τοῦτο τὸ ἐπιτήδευμα· τῶν
to-produce those practicing this the practice than-the
μὲν πρώτων εἰς σύνεσιν περὶ τὰς τέχνας ἐλλείπεσθαι,
indeed first in understanding about the arts to-fall-short
τὰ δευτερεῖα δ' ἔχοντας τῶν ἄλλων περιεῖναι, καὶ
the second-prizes but having over-the others to-prevail and
οὕτως γίγνεσθαι περὶ πάντα ὕπακρόν τινα ἄνδρα τὸν
so to-become about all next-to-top some man the(-one)
πεφιλοσοφηκότα· τοιοῦτόν τινά μοι δοκεῖς ἐνδείκνυσθαι.
having-philosophized such some to-me you-seem to-point-out

III · THE USELESS PHILOSOPHER

The cultured lover accepts the pentathlete. Socrates asks whether the good are useful; they are, and the philosopher most of all. But in sickness one calls the doctor, at sea the pilot, before the second-best philosopher, so while there are craftsmen the philosopher is useless, and so bad. Perhaps then philosophy is not about the arts. The art that makes horses or dogs best also punishes them rightly and knows the good and bad among them; in men, the judge's art, justice. Who knows one knows many, so a horse, an ox, or a dog that did not know the good and bad of its kind would not know itself.

καλῶς γέ μοι, ἔφη, ὦ Σώκρατες, φαίνῃ ὑπολαμβάνειν b
finely at-least to-me he-said O Socrates you-appear to-take-up
τὰ περὶ τοῦ φιλοσόφου, ἀπεικάσας αὐτὸν τῷ πεντάθλῳ.
the about the philosopher having-likened him to-the pentathlete
ἔστιν γὰρ ἀτεχνῶς τοιοῦτος οἷος μὴ δουλεύειν μηδενὶ
he-is for simply such as not to-be-slave to-no
πράγματι, μηδ' εἰς τὴν ἀκρίβειαν μηδὲν διαπεπονηκέναι,
thing nor to the exactness nothing to-have-labored-through
ὥστε διὰ τὴν τοῦ ἑνὸς τούτου ἐπιμέλειαν τῶν ἄλλων
so-that because-of the of-the one this care of-the others
ἁπάντων ἀπολελεῖφθαι, ὥσπερ οἱ δημιουργοί, ἀλλὰ
all to-be-left-behind like the craftsmen but
πάντων μετρίως ἐφῆφθαι.
all moderately to-have-touched
μετὰ ταύτην δὴ τὴν ἀπόκρισιν ἐγὼ προθυμούμενος
after this indeed the answer I being-eager
σαφῶς εἰδέναι ὅτι λέγοι, ἐπυνθανόμην αὐτοῦ τοὺς ἀγαθοὺς
clearly to-know what he-meant inquired from-him the good
πότερον χρησίμους ἢ ἀχρήστους εἶναι ὑπολαμβάνοι.
whether useful or useless to-be he-supposed
χρησίμους δήπου, ὦ Σώκρατες, ἔφη.
useful surely O Socrates he-said
ἆρ' οὖν, εἴπερ οἱ ἀγαθοὶ χρήσιμοι, οἱ πονηροὶ ἄχρηστοι;
so then if-indeed the good useful the wicked useless
ὡμολόγει.
he-agreed
τί δέ; τοὺς φιλοσόφους ἄνδρας χρησίμους ἡγῇ ἢ
what and the philosophic men useful do-you-consider or
οὔ;
not

c ὁ δὲ ὡμολόγει χρησίμους, καὶ πρός γε ἔφη
he and agreed useful and besides at-least he-said
χρησιμωτάτους εἶναι ἡγεῖσθαι.
most-useful to-be he-considered
φέρε δὴ γνῶμεν, εἰ σὺ ἀληθῆ λέγεις, ποῦ καὶ χρήσιμοι
come indeed let-us-learn if you true-things say where also useful
ἡμῖν εἰσιν οἱ ὕπακροι οὗτοι; δῆλον γὰρ ὅτι ἑκάστου γε
to-us are the next-to-top these clear for that than-each at-least
τῶν τὰς τέχνας ἐχόντων φαυλότερός ἐστιν ὁ φιλόσοφος.
of-those the arts having inferior is the philosopher
ὡμολόγει.
he-agreed
φέρε δὴ σύ, ἦν δ' ἐγώ, εἰ τύχοις ἢ αὐτὸς ἀσθενήσας
come indeed you said — I if you-should-happen either yourself having-fallen-sick
ἢ τῶν φίλων τις τῶν σῶν περὶ ὧν σὺ σπουδὴν μεγάλην
or of-the friends any of-the yours about whom you earnestness great
ἔχεις, πότερον ὑγείαν βουλόμενος κτήσασθαι τὸν ὕπακρον
have whether health wishing to-acquire the next-to-top
ἐκεῖνον εἰσάγοις ἂν εἰς τὴν οἰκίαν ἢ τὸν ἰατρὸν λάβοις;
that-one would-you-bring-in — into the house or the doctor would-you-take
d ἀμφοτέρους ἔγωγ' ἄν, ἔφη.
both I-would — he-said
μή μοι, εἶπον ἐγώ, ἀμφοτέρους λέγε, ἀλλ' ὁπότερον
not to-me said I both say but which
μᾶλλόν τε καὶ πρότερον.
rather both and sooner
οὐδεὶς ἄν, ἔφη, τοῦτό γε ἀμφισβητήσειεν, ὡς οὐχὶ τὸν
no-one — he-said this at-least would-dispute that not the
ἰατρὸν καὶ μᾶλλον καὶ πρότερον.
doctor both rather and sooner

τί δ'; ἐν νηὶ χειμαζομένῃ ποτέρῳ ἂν μᾶλλον ἐπιτρέποις
what and in a-ship being-storm-tossed to-which — rather would-you-entrust
σαυτόν τε καὶ τὰ σεαυτοῦ, τῷ κυβερνήτῃ ἢ τῷ
yourself both and the your-own to-the pilot or to-the
φιλοσόφῳ;
philosopher
τῷ κυβερνήτῃ ἔγωγε.
to-the pilot I-at-least
οὐκοῦν καὶ τἆλλα πάνθ' οὕτως, ἕως ἄν τις
therefore also the-other-things all so as-long-as — any
δημιουργὸς ᾖ, οὐ χρήσιμός ἐστιν ὁ φιλόσοφος;
craftsman be not useful is the philosopher
φαίνεται, ἔφη.
it-appears he-said
οὐκοῦν νῦν ἄχρηστός τις ἡμῖν ἐστιν ὁ φιλόσοφος; εἰσὶ e
therefore now useless some to-us is the philosopher there-are
γὰρ ἡμῖν ἀεί που δημιουργοί· ὡμολογήσαμεν δὲ τοὺς μὲν
for to-us always surely craftsmen we-agreed and the indeed
ἀγαθοὺς χρησίμους εἶναι, τοὺς δὲ μοχθηροὺς ἀχρήστους.
good useful to-be the and bad useless
ἠναγκάζετο ὁμολογεῖν.
he-was-compelled to-agree
τί οὖν μετὰ τοῦτο; ἔρωμαί σε ἢ ἀγροικότερόν ἐστιν
what then after this shall-I-ask you or ruder is-it
ἐρέσθαι —
to-ask
ἐροῦ ὅτι βούλει.
ask whatever you-wish
οὐδὲν δή, ἔφην ἐγώ, ζητῶ ἄλλο ἢ ἀνομολογήσασθαι τὰ 137
nothing indeed I-said I seek other than to-recapitulate the
εἰρημένα. ἔχει δέ πως ὡδί. ὡμολογήσαμεν καλὸν εἶναι τὴν
things-said it-is and somehow thus we-agreed fine to-be the

φιλοσοφίαν καὶ αὐτοὶ φιλόσοφοι εἶναι, τοὺς δὲ φιλοσόφους
philosophy and ourselves philosophers to-be the and philosophers
ἀγαθούς, τοὺς δὲ ἀγαθοὺς χρησίμους, τοὺς δὲ πονηροὺς
good the and good useful the and wicked
ἀχρήστους· αὖθις δ' αὖ τοὺς φιλοσόφους ὡμολογήσαμεν,
useless again and in-turn the philosophers we-agreed
ἕως ἂν οἱ δημιουργοὶ ὦσιν, ἀχρήστους εἶναι, δημιουργοὺς
as-long-as — the craftsmen are useless to-be craftsmen
δὲ ἀεὶ εἶναι. οὐ γὰρ ταῦτα ὡμολόγηται;
and always to-be not for these-things has-been-agreed
πάνυ γε, ἦ δ' ὅς.
certainly at-least said — he
b ὡμολογοῦμεν ἄρα, ὡς ἔοικε, κατά γε τὸν σὸν λόγον,
we-agreed then as it-seems according-to at-least the your argument
εἴπερ τὸ φιλοσοφεῖν ἐστι περὶ τὰς τέχνας ἐπιστήμονας
if-indeed the to-philosophize is about the arts knowing
εἶναι ὃν σὺ λέγεις τὸν τρόπον, πονηροὺς αὐτοὺς
to-be in-which you say the way wicked them
εἶναι καὶ ἀχρήστους, ἕως ἂν ἐν ἀνθρώποις τέχναι
to-be and useless as-long-as — among humans arts
ὦσιν. ἀλλὰ μὴ οὐχ οὕτως, ὦ φίλε, ἔχωσι, μηδ' ᾖ
are but lest not so O friend they-be nor be
τοῦτο φιλοσοφεῖν, περὶ τὰς τέχνας ἐσπουδακέναι, οὐδὲ
this to-philosophize about the arts to-have-been-busy nor
πολυπραγμονοῦντα κυπτάζοντα ζῆν οὐδὲ πολυμαθοῦντα,
meddling stooping to-live nor learning-much
ἀλλ' ἄλλο τι, ἐπεὶ ἐγὼ ᾤμην καὶ ὄνειδος εἶναι τοῦτο καὶ
but other something since I thought also reproach to-be this and
βαναύσους καλεῖσθαι τοὺς περὶ τὰς τέχνας ἐσπουδακότας.
vulgar to-be-called those about the arts having-been-busy
ὧδε δὲ σαφέστερον εἰσόμεθα εἰ ἄρα ἀληθῆ λέγω, ἐὰν
thus and more-clearly we-shall-know if after-all true-things I-say if

τοῦτο ἀποκρίνῃ· τίνες ἵπποις ἐπίστανται κολάζειν ὀρθῶς;
this you-answer who horses know to-punish rightly
πότερον οἵπερ βελτίστους ποιοῦσιν ἢ ἄλλοι;
whether those-very best make or others
οἵπερ βελτίστους.
those-very best
τί δέ; κύνας οὐχ οἳ βελτίστους ἐπίστανται ποιεῖν, οὗτοι
what and dogs not who best know to-make these
καὶ κολάζειν ὀρθῶς ἐπίστανται;
also to-punish rightly know
ναί.
yes
ἡ αὐτὴ ἄρα τέχνη βελτίστους τε ποιεῖ καὶ κολάζει
the same then art best both makes and punishes
ὀρθῶς;
rightly
φαίνεταί μοι, ἦ δ' ὅς.
it-appears to-me said — he
τί δέ; πότερον ἥπερ βελτίστους τε ποιεῖ καὶ κολάζει
what and whether the-one-which best both makes and punishes
ὀρθῶς, ἡ αὐτὴ δὲ καὶ γιγνώσκει τοὺς χρηστοὺς καὶ τοὺς
rightly the same and also knows the good and the
μοχθηρούς, ἢ ἑτέρα τις;
bad or other some
ἡ αὐτή, ἔφη.
the same he-said
ἐθελήσεις οὖν καὶ κατ' ἀνθρώπους τοῦτο ὁμολογεῖν, d
will-you-be-willing then also as-to humans this to-agree
ἥπερ βελτίστους ἀνθρώπους ποιεῖ, ταύτην εἶναι καὶ τὴν
which-very best humans makes this to-be also the

κολάζουσαν ὀρθῶς καὶ διαγιγνώσκουσαν τοὺς χρηστούς
punishing rightly and discerning the good
τε καὶ μοχθηρούς;
both and bad
πάνυ γ', ἔφη.
certainly at-least he-said
οὐκοῦν καὶ ἥτις ἕνα, καὶ πολλούς, καὶ ἥτις πολλούς, καὶ
therefore also which one also many and which many also
ἕνα;
one
ναί.
yes
καὶ καθ' ἵππων δὴ καὶ τῶν ἄλλων ἁπάντων οὕτως;
and as-to horses indeed and the others all so
φημί.
I-say-so
τίς οὖν ἐστιν ἡ ἐπιστήμη, ἥτις τοὺς ἐν ταῖς πόλεσιν
what then is the knowledge which those in the cities
ἀκολασταίνοντας καὶ παρανομοῦντας ὀρθῶς κολάζει; οὐχ
being-licentious and acting-lawlessly rightly punishes not
ἡ δικαστική;
the judicial
ναί.
yes
ἦ ἄλλην οὖν τινα καλεῖς καὶ δικαιοσύνην ἢ ταύτην;
truly other then some do-you-call also justice or this
οὐκ, ἀλλὰ ταύτην.
no but this
e οὐκοῦν ᾗπερ κολάζουσιν ὀρθῶς, ταύτῃ καὶ γιγνώσκουσι
therefore by-which-very they-punish rightly by-this also they-know
τοὺς χρηστοὺς καὶ μοχθηρούς;
the good and bad

ταύτῃ.

by-this

ὅστις δὲ ἕνα γιγνώσκει, καὶ πολλοὺς γνώσεται;

whoever and one knows also many will-know

ναί.

yes

καὶ ὅστις γε πολλοὺς ἀγνοεῖ, καὶ ἕνα;

and whoever at-least many is-ignorant-of also one

φημί.

I-say-so

εἰ ἄρα ἵππος ὢν ἀγνοοῖ τοὺς χρηστοὺς καὶ πονηροὺς

if then horse being he-should-not-know the good and bad

ἵππους, κἂν ἑαυτὸν ἀγνοοῖ ποῖός τίς ἐστιν;

horses even himself he-would-not-know of-what-sort some he-is

φημί.

I-say-so

καὶ εἰ βοῦς ὢν ἀγνοοῖ τοὺς πονηροὺς καὶ χρηστοὺς

and if ox being he-should-not-know the bad and good

βοῦς, κἂν αὑτὸν ἀγνοοῖ ποῖός τίς ἐστιν;

oxen even himself he-would-not-know of-what-sort some he-is

ναί, ἔφη.

yes he-said

οὕτω δὴ καὶ εἰ κύων;

so indeed also if dog

ὡμολόγει.

he-agreed

Not to know good and bad men is not to know oneself, and to know oneself is temperance, which the Delphic inscription urges with justice; the two prove the same. Statesmanship, kingship, tyranny, and household management are this same art. So the philosopher is no pentathlete, second in it and unable to follow or contribute; he must manage his own house and lead in arbitrations and the city's judgments. Philosophy is far from much learning and busying oneself with the arts. The wise lover falls silent in shame, the athlete agrees, and the others praise the argument.

138 τί δ'; ἐπειδὰν ἄνθρωπός τις ὢν ἀγνοῇ τοὺς χρηστοὺς
what and when human some being he-is-ignorant-of the good
καὶ μοχθηροὺς ἀνθρώπους, ἆρ' οὐχ αὑτὸν ἀγνοεῖ
and bad humans then not himself is-be-ignorant-of
πότερον χρηστός ἐστιν ἢ πονηρός, ἐπειδὴ καὶ αὐτὸς
whether good he-is or wicked since also himself
ἄνθρωπός ἐστιν;
human he-is
συνεχώρει.
he-conceded
τὸ δὲ αὑτὸν ἀγνοεῖν σωφρονεῖν ἐστιν ἢ μὴ σωφρονεῖν;
the and himself to-be-ignorant-of to-be-temperate is-it or not to-be-temperate
μὴ σωφρονεῖν.
not to-be-temperate
τὸ ἑαυτὸν ἄρα γιγνώσκειν ἐστὶ σωφρονεῖν;
the himself then to-know is to-be-temperate
φημί, ἔφη.
I-say-so he-said
τοῦτ' ἄρα, ὡς ἔοικε, τὸ ἐν Δελφοῖς γράμμα παρακελεύεται,
this then as it-seems the at Delphi inscription urges
σωφροσύνην ἀσκεῖν καὶ δικαιοσύνην.
temperance to-practice and justice

ἔοικεν.

it-seems

τῇ αὐτῇ δὲ ταύτῃ καὶ κολάζειν ὀρθῶς ἐπιστάμεθα;

by-the same and this also to-punish rightly we-know

ναί.

yes

οὐκοῦν ᾗ μὲν κολάζειν ὀρθῶς ἐπιστάμεθα, δικαιοσύνη b

therefore that-by-which indeed to-punish rightly we-know justice

αὕτη ἐστίν, ᾗ δὲ διαγιγνώσκειν καὶ ἑαυτὸν καὶ

this is that-by-which and to-discern both oneself and

ἄλλους, σωφροσύνη;

others temperance

ἔοικεν, ἔφη.

it-seems he-said

ταὐτὸν ἄρα ἐστὶ καὶ δικαιοσύνη καὶ σωφροσύνη;

the-same then is both justice and temperance

φαίνεται.

it-appears

καὶ μὴν οὕτω γε καὶ αἱ πόλεις εὖ οἰκοῦνται, ὅταν οἱ

and indeed so at-least also the cities well are-governed when the

ἀδικοῦντες δίκην διδῶσιν.

wrongdoers penalty pay

ἀληθῆ λέγεις, ἔφη.

true-things you-say he-said

καὶ πολιτικὴ ἄρα αὐτή ἐστιν.

and statesmanship then the-same is

συνεδόκει.

he-agreed

τί δὲ ὅταν εἷς ἀνὴρ ὀρθῶς πόλιν διοικῇ, ὄνομά γε

what and when one man rightly a-city manages name at-least

τούτῳ οὐ τύραννός τε καὶ βασιλεύς;

to-this not tyrant both and king

φημί.

I-say-so

οὐκοῦν βασιλικῇ τε καὶ τυραννικῇ τέχνῃ διοικεῖ;

therefore by-kingly both and tyrannical art he-manages

οὕτως.

so

καὶ αὗται ἄρ᾽ αἱ αὐταὶ τέχναι εἰσὶν ἐκείναις;

and these then the same arts are with-those

φαίνονται.

they-appear

c τί δ᾽ ὅταν εἷς ὢν ἀνὴρ οἰκίαν διοικῇ ὀρθῶς, τί ὄνομα

what and when one being man a-house manages rightly what name

τούτῳ ἐστίν; οὐκ οἰκονόμος τε καὶ δεσπότης;

to-this is not householder both and master

ναί.

yes

πότερον οὖν καὶ οὗτος δικαιοσύνῃ εὖ ἂν τὴν οἰκίαν

whether then also this-one by-justice well — the house

διοικοῖ ἢ κἄλλῃ τινὶ τέχνῃ;

would-manage or also-by-another some art

δικαιοσύνῃ.

by-justice

ἔστιν ἄρα ταὐτόν, ὡς ἔοικε, βασιλεύς, τύραννος, πολιτικός,

it-is then the-same as it-seems king tyrant statesman

οἰκονόμος, δεσπότης, σώφρων, δίκαιος. καὶ μία τέχνη

householder master temperate just and one art

ἐστὶν βασιλική, τυραννική, πολιτική, δεσποτική, οἰκονομική,

is kingly tyrannical political masterly household

δικαιοσύνη, σωφροσύνη.

justice temperance

φαίνεται, ἔφη, οὕτως.

it-appears he-said so

πότερον οὖν τῷ φιλοσόφῳ, ὅταν μὲν ἰατρὸς περὶ d
whether then for-the philosopher when indeed a-doctor about
τῶν καμνόντων τι λέγῃ, αἰσχρὸν μήθ' ἕπεσθαι τοῖς
the sick anything says shameful neither to-follow the
λεγομένοις δύνασθαι μήτε συμβάλλεσθαι μηδὲν περὶ τῶν
things-said to-be-able nor to-contribute anything about the
λεγομένων ἢ πραττομένων, καὶ ὁπόταν ἄλλος τις τῶν
things-said or done and whenever other some of-the
δημιουργῶν, ὡσαύτως· ὅταν δὲ δικαστὴς ἢ βασιλεὺς ἢ
craftsmen likewise when but judge or king or
ἄλλος τις ὢν νυνδὴ διεληλύθαμεν, οὐκ αἰσχρὸν περὶ
other some of-whom just-now we-have-gone-through not shameful about
τούτων μήτε ἕπεσθαι δύνασθαι μήτε συμβάλλεσθαι περὶ
these neither to-follow to-be-able nor to-contribute about
αὐτῶν;
them
πῶς δ' οὐκ αἰσχρόν, ὦ Σώκρατες, περί γε τοσούτων
how and not shameful O Socrates about at-least so-great
πραγμάτων μηδὲν ἔχειν συμβάλλεσθαι;
matters nothing to-have to-contribute
πότερον οὖν καὶ περὶ ταῦτα λέγωμεν, ἔφην, πένταθλον e
whether then also about these-things shall-we-say I-said pentathlete
αὐτὸν δεῖν εἶναι καὶ ὕπακρον, καὶ ταύτης μὲν τὰ
him to-need to-be and next-to-top and of-this indeed the
δευτερεῖα ἔχοντα πάντων τὸν φιλόσοφον, καὶ ἀχρεῖον
second-prizes having of-all the philosopher and useless
εἶναι ἕως ἂν τούτων τις ᾖ, ἢ πρῶτον μὲν τὴν αὑτοῦ
to-be as-long-as — of-these any be or first indeed the his-own
οἰκίαν οὐκ ἄλλῳ ἐπιτρεπτέον οὐδὲ τὰ δευτερεῖα ἐν τούτῳ
house not to-another must-be-entrusted nor the second-prizes in this

ἑκτέον, ἀλλ᾽ αὐτὸν κολαστέον δικάζοντα ὀρθῶς, εἰ μέλλει
must-be-held but himself must-punish judging rightly if is-to
εὖ οἰκεῖσθαι αὐτοῦ ἡ οἰκία;
well to-be-managed his the house
συνεχώρει δή μοι.
he-agreed indeed with-me
139 ἔπειτά γε δήπου ἐάντε οἱ φίλοι αὐτῷ διαίτας
then at-least surely whether the friends to-him arbitrations
ἐπιτρέπωσιν, ἐάντε ἡ πόλις τι προστάττῃ διακρίνειν ἢ
entrust or the city anything orders to-decide or
δικάζειν, αἰσχρὸν ἐν τούτοις, ὦ ἑταῖρε, δεύτερον φαίνεσθαι
to-judge shameful in these O comrade second to-appear
ἢ τρίτον καὶ μὴ οὐχ ἡγεῖσθαι;
or third and not not to-lead
δοκεῖ μοι.
it-seems to-me
πολλοῦ ἄρα δεῖ ἡμῖν, ὦ βέλτιστε, τὸ φιλοσοφεῖν πολυμαθία
much then lacks for-us O best the to-philosophize much-learning
τε εἶναι καὶ ἡ περὶ τὰς τέχνας πραγματεία.
both to-be and the about the arts busyness
εἰπόντος δ᾽ ἐμοῦ ταῦτα ὁ μὲν σοφὸς αἰσχυνθεὶς τοῖς
having-said and me these-things the indeed wise ashamed at-the
προειρημένοις ἐσίγησεν, ὁ δὲ ἀμαθὴς ἔφη ἐκείνως εἶναι·
things-said-before was-silent the and ignorant said so to-be
καὶ οἱ ἄλλοι ἐπῄνεσαν τὰ εἰρημένα.
and the others praised the things-said

PLATO

ΘΕΑΓΗΣ

Theages

Demodocus asks Socrates' advice in the portico of Zeus the Liberator: his son Theages, stirred by age-mates' talk, wants a sophist to make him wise, and Demodocus, fearing the danger but unable to hold him, has come to place him with one. Socrates calls counsel sacred and asks first what Theages wants. Taught letters, the lyre, and wrestling, he wants a wisdom of ruling men, not piloting, charioteering, medicine, music, or gymnastics.

DEM. ὦ Σώκρατες, ἐδεόμην ἄττα σοι ἰδιολογήσασθαι, 121
O Socrates I-wanted some-things with-you to-talk-privately
εἰ σχολή· κἂν εἰ ἀσχολία δὲ μὴ πάνυ τις μεγάλη,
if leisure and-even if business but not very some great
ὅμως ἐμοῦ ἕνεκα ποίησαι σχολήν.
nevertheless me for-the-sake make leisure
SOC. ἀλλὰ καὶ ἄλλως τυγχάνω σχολάζων, καὶ δὴ σοῦ
but also otherwise I-happen being-at-leisure and indeed you
γε ἕνεκα καὶ πάνυ. ἀλλ' εἴ τι βούλει λέγειν,
at-least for-the-sake also very but if anything you-wish to-say
ἔξεστιν.
it-is-possible
DEM. βούλει οὖν δεῦρο εἰς τὴν τοῦ Διὸς τοῦ ἐλευθερίου
do-you-wish then hither into the — of-Zeus the of-freedom
στοὰν ἐκποδὼν ἀποχωρήσωμεν;
portico out-of-the-way let-us-withdraw
SOC. εἰ σοὶ δοκεῖ.
if to-you it-seems
DEM. ἴωμεν δή. ὦ Σώκρατες, πάντα τὰ φυτὰ κινδυνεύει τὸν 122
let-us-go indeed O Socrates all the plants are-likely the
αὐτὸν τρόπον ἔχειν, καὶ τὰ ἐκ τῆς γῆς φυόμενα καὶ τὰ
same way to-be both the from the earth growing and the
ζῷα τά τε ἄλλα καὶ ἄνθρωπος. καὶ γὰρ ἐν τοῖς φυτοῖς
animals the both others and man and for in the plants

ῥᾷστον ἡμῖν τοῦτο γίγνεται, ὅσοι τὴν γῆν γεωργοῦμεν,
easiest to-us this becomes as-many-as the earth farm
τὸ παρασκευάσασθαι πάντα τὰ πρὸ τοῦ φυτεύειν καὶ
the to-prepare all-things the before the to-plant and
αὐτὸ τὸ φυτεῦσαι· ἐπειδὰν δὲ τὸ φυτευθὲν βιῷ, μετὰ
itself the to-plant when and the planted lives after
τοῦτο θεραπεία τοῦ φύντος καὶ πολλὴ καὶ χαλεπὴ καὶ
this tending of-the grown both much and hard and
δύσκολος γίγνεται. οὕτω δὲ ἔχειν ἔοικε καὶ τὸ περὶ τῶν
difficult becomes so and to-be it-seems also the about the
ἀνθρώπων· ἀπὸ τῶν ἐμαυτοῦ ἐγὼ πραγμάτων τεκμαίρομαι
humans from the my-own I affairs judge
καὶ ἐς τἆλλα. καὶ γὰρ ἐμοὶ ἡ τοῦ ὑέος τουτουΐ, εἴτε
also to the-other-things and for to-me the of-the son this-here whether
φυτείαν εἴτε παιδοποιίαν δεῖ αὐτὴν ὀνομάζειν, πάντων
planting or child-begetting it-is-needful it to-name of-all
ῥᾴστη γέγονεν, ἡ δὲ τροφὴ δύσκολός τε καὶ ἀεὶ ἐν
easiest has-been the but rearing difficult both and always in
φόβῳ περὶ αὐτοῦ δεδιότι. τὰ μὲν οὖν ἄλλα πολλὰ
fear about him being-afraid the indeed then other-things many
ἂν εἴη λέγειν, ἡ δὲ νῦν παροῦσα ἐπιθυμία τούτῳ
— would-be to-tell the but now present desire to-this-one
πάνυ με φοβεῖ — ἔστι μὲν γὰρ οὐκ ἀγεννής, σφαλερὰ
very me frightens it-is indeed for not ignoble dangerous
δέ — ἐπιθυμεῖ γὰρ δὴ οὗτος ἡμῖν, ὦ Σώκρατες, ὥς
but he-desires for indeed this-one to-us O Socrates as
φησι, σοφὸς γενέσθαι. δοκῶ γάρ μοι, τῶν ἡλικιωτῶν
he-says wise to-become I-seem for to-me of-the age-mates
τινες αὐτοῦ καὶ δημοτῶν, εἰς τὸ ἄστυ καταβαίνοντες,
some of-him and demesmen to the town going-down
λόγους τινὰς ἀπομνημονεύοντες διαταράττουσιν αὐτόν,
speeches some recounting disturb him

οὓς ἐζήλωκεν καὶ πάλαι μοι πράγματα παρέχει, ἀξιῶν
which he-has-admired and for-long to-me troubles provides thinking-fit
ἐπιμεληθῆναί με ἑαυτοῦ καὶ χρήματα τελέσαι τινὶ τῶν
to-care-for me for-him and money to-pay to-some of-the
σοφιστῶν, ὅστις αὐτὸν σοφὸν ποιήσει. ἐμοὶ δὲ τῶν μὲν
sophists who him wise will-make to-me but the indeed
χρημάτων καὶ ἔλαττον μέλει, ἡγοῦμαι δὲ τοῦτον οὐκ εἰς
money even less matters I-consider but this-one not into
μικρὸν κίνδυνον ἰέναι οἷ σπεύδει.
small danger to-go where he-hastens
τέως μὲν οὖν αὐτὸν κατεῖχον παραμυθούμενος· ἐπειδὴ b
for-a-while indeed then him I-restrained soothing when
δὲ οὐκέτι οἷός τέ εἰμι, ἡγοῦμαι κράτιστον εἶναι πείθεσθαι
but no-longer able — I-am I-consider best to-be to-obey
αὐτῷ, ἵνα μὴ πολλάκις ἄνευ ἐμοῦ συγγενόμενός τῳ
him so-that not perhaps without me having-associated-with someone
διαφθαρῇ. νῦν οὖν ἥκω ἐπ᾽ αὐτὰ ταῦτα, ἵνα τῳ
he-be-corrupted now then I-come for very these-things so-that to-one
τούτων τῶν σοφιστῶν δοκούντων εἶναι συστήσω τουτονί.
of-these the sophists seeming to-be I-may-introduce this-one
σὺ οὖν ἡμῖν εἰς καλὸν παρεφάνης, ᾧ ἂν ἐγὼ
you then to-us at fine-time appeared with-whom — I
μάλιστα ἐβουλόμην περὶ τῶν τοιούτων μέλλων πράξειν
most wished about the such-things going to-act
συμβουλεύσασθαι. ἀλλ᾽ εἴ τι ἔχεις συμβουλεύειν ἐξ
to-consult but if anything you-have to-advise from
ὧν ἐμοῦ ἀκήκοας, ἔξεστί τε καὶ χρή.
what from-me you-have-heard it-is-possible both and needful
soc. ἀλλὰ μὲν δή, ὦ Δημόδοκε, καὶ λέγεταί γε c
but indeed indeed O Demodocus also is-said at-least
συμβουλὴ ἱερὸν χρῆμα εἶναι. εἴπερ οὖν καὶ ἄλλη ἡτισοῦν
counsel a-sacred thing to-be if-indeed then also other any-whatever

ἐστιν ἱερά, καὶ αὕτη ἂν εἴη περὶ ἧς σὺ νῦν συμβουλεύῃ·
is sacred also this — would-be about which you now consult
οὐ γὰρ ἔστι περὶ ὅτου θειοτέρου ἂν ἄνθρωπος βουλεύσαιτο
not for there-is about what more-divine — a-human could-deliberate
ἢ περὶ παιδείας καὶ αὑτοῦ καὶ τῶν αὑτοῦ οἰκείων.
than about education both of-himself and of-the his-own intimates
πρῶτον μὲν οὖν ἐγώ τε καὶ σὺ συνομολογήσωμεν τί
first indeed then I both and you let-us-agree what
ποτε οἰόμεθα τοῦτο εἶναι περὶ οὗ βουλευόμεθα· μὴ
ever we-think this to-be about which we-deliberate lest
γὰρ πολλάκις ἐγὼ μὲν ἄλλο τι αὐτὸ ὑπολαμβάνω,
for perhaps I indeed other something it suppose
σὺ δὲ ἄλλο, κἄπειτα πόρρω που τῆς συνουσίας
you and other and-then far somewhere in-the conversation
αἰσθώμεθα γελοῖοι ὄντες, ἐγώ τε ὁ συμβουλεύων καὶ
we-perceive ridiculous being I both the advising and
σὺ ὁ συμβουλευόμενος, μηδὲν τῶν αὐτῶν ἡγούμενοι.
you the being-advised nothing of-the same considering
DEM. ἀλλά μοι δοκεῖς ὀρθῶς λέγειν, ὦ Σώκρατες, καὶ
but to-me you-seem rightly to-speak O Socrates and
ποιεῖν χρὴ οὕτω.
to-do it-is-needful so
d SOC. καὶ λέγω γε ὀρθῶς, οὐ μέντοι παντάπασί γε·
and I-speak at-least rightly not however altogether at-least
σμικρὸν γάρ τι μετατίθεμαι. ἐννοῶ γὰρ μὴ καὶ
small for something I-change I-reflect for lest also
ὁ μειρακίσκος οὗτος οὐ τούτου ἐπιθυμεῖ οὗ ἡμεῖς
the lad this-one not this desires which we
αὐτὸν οἰόμεθα ἐπιθυμεῖν ἀλλ' ἑτέρου, εἶτ' αὖ ἡμεῖς
him think to-desire but another then again we
ἔτι ἀτοπώτεροι ὦμεν περὶ ἄλλου του βουλευόμενοι.
still more-absurd may-be about other something deliberating

ὀρθότατον οὖν μοι δοκεῖ εἶναι ἀπ᾽ αὐτοῦ τούτου ἄρχεσθαι,
most-right then to-me seems to-be from itself this to-begin
διαπυνθανομένους ὅτι καὶ ἔστιν οὗ ἐπιθυμεῖ.
inquiring what also it-is which he-desires

DEM. κινδυνεύει γοῦν οὕτω βέλτιστον εἶναι ὡς σὺ λέγεις.
it-is-likely at-any-rate so best to-be as you say

SOC. εἰπὲ δή μοι, τί καλὸν ὄνομα τῷ νεανίσκῳ; τί
tell indeed me what fine name to-the young-man what
αὐτὸν προσαγορεύωμεν;
him may-we-call

DEM. Θεάγης ὄνομα τούτῳ, ὦ Σώκρατες.
Theages name to-this-one O Socrates

SOC. καλόν γε, ὦ Δημόδοκε, τῷ υἱεῖ τὸ ὄνομα ἔθου e
fine at-least O Demodocus for-the son the name you-gave
καὶ ἱεροπρεπές. εἰπὲ δὴ ἡμῖν, ὦ Θέαγες, ἐπιθυμεῖν φῂς
and sacred-sounding tell indeed us O Theages to-desire you-say
σοφὸς γενέσθαι, καὶ ἀξιοῖς σου τὸν πατέρα τόνδε ἐξευρεῖν
wise to-become and think-fit your the father this-one to-find-out
ἀνδρός τινος συνουσίαν τοιούτου ὅστις σε σοφὸν ποιήσει;
of-man some company such who you wise will-make

THEAG. ναί.
yes

SOC. σοφοὺς δὲ καλεῖς πότερον τοὺς ἐπιστήμονας, περὶ
wise and do-you-call whether the knowing about
ὅτου ἂν ἐπιστήμονες ὦσιν, ἢ τοὺς μή;
whatever — knowing they-be or the not

THEAG. τοὺς ἐπιστήμονας ἔγωγε.
the knowing I-at-least

SOC. τί οὖν; οὐκ ἐδιδάξατό σε ὁ πατὴρ καὶ ἐπαίδευσεν
what then not taught you the father and educated
ἅπερ ἐνθάδε οἱ ἄλλοι πεπαίδευνται, οἱ τῶν καλῶν
in-what-very here the others have-been-educated the of-the fine

κἀγαθῶν πατέρων ὑεῖς, οἷον γράμματά τε καὶ κιθαρίζειν
and-good fathers sons such-as letters both and to-play-the-lyre
καὶ παλαίειν καὶ τὴν ἄλλην ἀγωνίαν;
and to-wrestle and the other contest
THEAG. ἐμέ γε.
me at-least
123 SOC. ἔτι οὖν οἴει τινὸς ἐπιστήμης ἐλλείπειν, ἧς
still then do-you-think some knowledge to-lack which
προσήκει ὑπὲρ σοῦ τὸν πατέρα ἐπιμεληθῆναι;
it-befits on-behalf-of you the father to-care-for
THEAG. ἔγωγε.
I-at-least
SOC. τίς ἐστιν αὕτη; εἰπὲ καὶ ἡμῖν, ἵνα σοι χαρισώμεθα.
what is this tell also us so-that you we-may-gratify
THEAG. οἶδεν καὶ οὗτος, ὦ Σώκρατες — ἐπεὶ πολλάκις ἐγὼ
knows also this-one O Socrates since often I
αὐτῷ εἴρηκα — ἀλλὰ ταῦτα ἐξεπίτηδες πρὸς σὲ λέγει, ὡς
to-him have-said but these-things on-purpose to you he-says as
δὴ οὐκ εἰδὼς οὗ ἐγὼ ἐπιθυμῶ· τοιαῦτα γὰρ ἕτερα καὶ
indeed not knowing what I desire such-things for other also
πρὸς ἐμὲ μάχεταί τε καὶ οὐκ ἐθέλει με οὐδενὶ συστῆσαι.
against me he-fights both and not is-willing me to-no-one to-introduce
b SOC. ἀλλὰ τὰ μὲν ἔμπροσθέν σοι ἦν πρὸς τοῦτον ῥηθέντα
but the indeed before to-you were to this-one said
ὥσπερ ἄνευ μαρτύρων λεγόμενα· νυνὶ δὲ ἐμὲ ποίησαι
as without witnesses spoken now but me make
μάρτυρα, καὶ ἐναντίον ἐμοῦ κάτειπε τίς ἐστιν αὕτη ἡ
witness and before me declare what is this the
σοφία ἧς ἐπιθυμεῖς. φέρε γάρ, εἰ ἐπεθύμεις ταύτης ᾗ
wisdom which you-desire come for if you-desired this by-which
οἱ ἄνθρωποι τὰ πλοῖα κυβερνῶσιν, καὶ ἐγώ σε ἐτύγχανον
the humans the boats steer and I you happened

ἀνερωτῶν· “ὦ Θέαγες, τίνος ἐνδεὴς ὢν σοφίας μέμφῃ
asking O Theages of-what lacking being wisdom you-blame
τῷ πατρὶ ὅτι οὐκ ἐθέλει σε συνιστάναι παρ’ ὧν
the father because not he-is-willing you to-introduce to whom
ἂν σὺ σοφὸς γένοιο;” τί ἄν μοι ἀπεκρίνω; τίνα
— you wise might-become what — to-me would-you-have-answered what
αὐτὴν εἶναι; ἆρα οὐ κυβερνητικήν;
it to-be then not piloting

THEAG. ναί.
yes

SOC. εἰ δὲ ἐπιθυμῶν ταύτην τὴν σοφίαν εἶναι σοφὸς c
if and desiring this the wisdom to-be wise
ᾗ τὰ ἅρματα κυβερνῶσιν εἶτ’ ἐμέμφου τῷ πατρί,
by-which the chariots they-steer then you-blamed the father
ἐμοῦ αὖ ἐρωτῶντος τίς ἐστιν αὕτη ἡ σοφία, τίνα ἂν
me again asking what is this the wisdom what —
ἀπεκρίνω αὐτὴν εἶναι; ἆρ’ οὐχὶ ἡνιοχικήν;
would-you-have-answered it to-be then not charioteering

THEAG. ναί.
yes

SOC. ἧς δὲ δὴ νῦν τυγχάνεις ἐπιθυμῶν, πότερον
which and indeed now you-happen desiring whether
ἀνώνυμός τίς ἐστιν ἢ ἔχει ὄνομα;
nameless some it-is or it-has name

THEAG. οἶμαι ἔγωγε ἔχειν.
I-think I-at-least to-have

SOC. πότερον οὖν αὐτὴν μὲν οἶσθα, οὐ μέντοι τό γε
whether then it indeed do-you-know not however the at-least
ὄνομα, ἢ καὶ τὸ ὄνομα;
name or also the name

THEAG. καὶ τὸ ὄνομα ἔγωγε.
also the name I-at-least

SOC. τί οὖν ἔστιν; εἰπέ.
what then is-it say

d THEAG. τί δὲ ἄλλο, ὦ Σώκρατες, αὐτῇ ὄνομά τις φαίη
what and other O Socrates for-it name anyone would-say
ἂν εἶναι ἀλλ' ἢ σοφίαν;
— to-be but than wisdom

SOC. οὐκοῦν καὶ ἡ ἡνιοχεία σοφία ἐστίν; ἢ ἀμαθία δοκεῖ
therefore also the charioteering wisdom is or ignorance does-it-seem
σοι εἶναι;
to-you to-be

THEAG. οὐκ ἔμοιγε.
not to-me-at-least

SOC. ἀλλὰ σοφία;
but wisdom

THEAG. ναί.
yes

SOC. ᾗ τί χρώμεθα; οὐχ ᾗ ἵππων ἐπιστάμεθα
by-which what do-we-use not by-which of-horses we-know
ζεύγους ἄρχειν;
team to-rule

THEAG. ναί.
yes

SOC. οὐκοῦν καὶ ἡ κυβερνητικὴ σοφία ἐστίν;
therefore also the piloting wisdom is

THEAG. ἔμοιγε δοκεῖ.
to-me-at-least it-seems

SOC. ἆρ' οὐχ αὕτη ᾗ πλοίων ἐπιστάμεθα ἄρχειν;
then not this by-which of-boats we-know to-rule

THEAG. αὕτη μὲν οὖν.
this indeed then

SOC. ἧς δὲ δὴ σὺ ἐπιθυμεῖς ἡ σοφία τίς ἐστιν; ἦ e
which and indeed you desire the wisdom what is-it by-which
τίνος ἐπιστάμεθα ἄρχειν;
of-what we-know to-rule
THEAG. ἐμοὶ μὲν δοκεῖ, ἦ τῶν ἀνθρώπων.
to-me indeed it-seems by-which of-the humans
SOC. μῶν ἦ τῶν καμνόντων;
surely-not by-which of-the sick
THEAG. οὐ δῆτα.
not indeed
SOC. ἰατρικὴ γὰρ αὕτη ἐστίν· ἦ γάρ;
medicine for this is is-it-not for
THEAG. ναί.
yes
SOC. ἀλλ᾽ ἦ τῶν ᾀδόντων ἐπιστάμεθα ἐν τοῖς χοροῖς
but by-which of-the singing we-know in the choruses
ἄρχειν;
to-rule
THEAG. οὔ.
no
SOC. μουσικὴ γὰρ αὕτη γε;
music for this at-least
THEAG. πάνυ γε.
certainly at-least
SOC. ἀλλ᾽ ἦ τῶν γυμναζομένων ἐπιστάμεθα ἄρχειν;
but by-which of-the exercising we-know to-rule
THEAG. οὔ.
no
SOC. γυμναστικὴ γὰρ αὕτη γε;
gymnastics for this at-least
THEAG. ναί.
yes

Asked whom it rules, Theages means the wisdom by which one rules everyone in the city, as Aegisthus, Peleus, Periander, Archelaus, and Hippias did: tyranny. Socrates mocks him and asks, from Euripides' line that tyrants are wise by the company of the wise, wise in what; Theages says he is mocked. He would pray to rule all, as anyone would, or be a god, but means to rule willing citizens like Themistocles and Pericles. Then go to the statesmen, says Socrates; Theages answers, citing Socrates, that their sons are no better than cobblers'. What, Socrates asks, would he do with a son who scorned the painters?

SOC. ἀλλ' ᾗ τῶν τί ποιούντων; προθυμοῦ εἰπεῖν ὥσπερ
but by-which of-the what doing be-eager to-say as
ἐγὼ σοὶ τὰ ἔμπροσθεν.
I to-you the before

124 THEAG. ᾗ τῶν ἐν τῇ πόλει, ἔμοιγε δοκεῖ.
by-which of-those in the city to-me-at-least it-seems
SOC. οὐκοῦν ἐν τῇ πόλει εἰσὶν καὶ οἱ κάμνοντες;
therefore in the city are also the sick
THEAG. ναί, ἀλλ' οὐ τούτων λέγω μόνον, ἀλλὰ καὶ τῶν
yes but not these I-mean only but also the
ἄλλων τῶν ἐν τῇ πόλει.
others those in the city
SOC. ἆρά γε μανθάνω ἣν λέγεις τέχνην; δοκεῖς γάρ
then at-least do-I-understand which you-mean art you-seem for
μοι λέγειν οὐχ ᾗ τῶν θεριζόντων ἐπιστάμεθα ἄρχειν
to-me to-mean not by-which those reaping we-know to-rule
καὶ τρυγώντων καὶ τῶν φυτευόντων καὶ σπειρόντων
and gathering-grapes and those planting and sowing
καὶ ἁλοώντων· αὕτη μὲν γὰρ γεωργική, ᾗ τούτων
and threshing this indeed for farming by-which these
ἄρχομεν. ἦ γάρ;
we-rule is-it-not for

THEAG. ναί.
yes

SOC. οὐδέ γε οἶμαι ᾗ τῶν πριζόντων καὶ τρυπώντων b
nor at-least I-think by-which those sawing and boring
καὶ ξεόντων καὶ τορνευόντων συμπάντων ἐπιστάμεθα
and planing and turning all-together we-know
ἄρχειν, οὐ ταύτην λέγεις· αὕτη μὲν γὰρ οὐ τεκτονική;
to-rule not this you-mean this indeed for not carpentry

THEAG. ναί.
yes

SOC. ἀλλ᾽ ἴσως ᾗ τούτων τε πάντων καὶ αὐτῶν τῶν
but perhaps by-which these both all and themselves the
γεωργῶν καὶ τῶν τεκτόνων καὶ τῶν δημιουργῶν ἁπάντων
farmers and the carpenters and the craftsmen all
καὶ τῶν ἰδιωτῶν καὶ τῶν γυναικῶν καὶ ἀνδρῶν, ταύτην
and the private-men and the women and men this
ἴσως λέγεις τὴν σοφίαν.
perhaps you-mean the wisdom

THEAG. ταύτην πάλαι, ὦ Σώκρατες, βούλομαι λέγειν.
this long-ago O Socrates I-wish to-mean

SOC. ἔχεις οὖν εἰπεῖν, Αἴγισθος ὁ Ἀγαμέμνονα c
can-you then to-say Aegisthus the(-one) Agamemnon
ἀποκτείνας ἐν Ἄργει ἆρα τούτων ἦρχεν ὧν σὺ λέγεις,
having-killed in Argos then these did-he-rule whom you mean
τῶν τε δημιουργῶν καὶ ἰδιωτῶν καὶ ἀνδρῶν καὶ γυναικῶν
the both craftsmen and private-men and men and women
συμπάντων, ἢ ἄλλων τινῶν;
all-together or others some

THEAG. οὔκ, ἀλλὰ τούτων.
no but these

SOC. τί δὲ δή; Πηλεὺς ὁ Αἰακοῦ ἐν Φθίᾳ οὐ τῶν
what and indeed Peleus the (son)-of-Aeacus in Phthia not the
αὐτῶν τούτων ἦρχεν;
same these did-he-rule
THEAG. ναί.
yes
SOC. Περίανδρον δὲ τὸν Κυψέλου ἄρχοντα ἐν Κορίνθῳ
Periander and the (son)-of-Cypselus ruling in Corinth
ἤδη ἀκήκοας γενέσθαι;
already have-you-heard to-have-been
THEAG. ἔγωγε.
I-at-least
SOC. οὐ τῶν αὐτῶν τούτων ἄρχοντα ἐν τῇ αὑτοῦ πόλει;
not the same these ruling in the his-own city
d THEAG. ναί.
yes
SOC. τί δὲ Ἀρχέλαον τὸν Περδίκκου, τὸν νεωστὶ τοῦτον
what and Archelaus the (son)-of-Perdiccas the lately this
ἄρχοντα ἐν Μακεδονίᾳ; οὐ τῶν αὐτῶν ἡγῇ τούτων
ruling in Macedonia not the same do-you-consider these
ἄρχειν;
to-rule
THEAG. ἔγωγε.
I-at-least
SOC. Ἱππίαν δὲ τὸν Πεισιστράτου ἐν τῇδε τῇ πόλει
Hippias and the (son)-of-Pisistratus in this the city
ἄρξαντα τίνων οἴει ἄρξαι; οὐ τούτων;
having-ruled whom do-you-think to-have-ruled not these
THEAG. πῶς γὰρ οὔ;
how for not

SOC. εἴποις ἂν οὖν μοι τίνα ἐπωνυμίαν ἔχει Βάκις τε
could-you-tell — then me what title has Bacis both
καὶ Σίβυλλα καὶ ὁ ἡμεδαπὸς Ἀμφίλυτος;
and Sibyl and the native Amphilytus
THEAG. τίνα γὰρ ἄλλην, ὦ Σώκρατες, πλήν γε χρησμῳδοί;
what for other O Socrates except at-least oracle-chanters
SOC. ὀρθῶς λέγεις. ἀλλὰ καὶ τούσδε μοι οὕτω πειρῶ e
rightly you-speak but also these-ones to-me so try
ἀποκρίνασθαι, τίνα ἐπωνυμίαν ἔχει Ἱππίας καὶ Περίανδρος
to-answer what title has Hippias and Periander
διὰ τὴν αὐτὴν ἀρχήν;
because-of the same rule
THEAG. οἶμαι μὲν τύραννοι· τί γὰρ ἄλλο;
I-think indeed tyrants what for other
SOC. οὐκοῦν ὅστις ἐπιθυμεῖ τῶν ἀνθρώπων τῶν ἐν τῇ πόλει
therefore whoever desires the humans those in the city
συμπάντων ἄρχειν, τῆς αὐτῆς ἀρχῆς τούτοις ἐπιθυμεῖ,
all-together to-rule the same rule as-these he-desires
τυραννικῆς, καὶ τύραννος εἶναι;
tyrannical and tyrant to-be
THEAG. φαίνεται.
it-appears
SOC. οὐκοῦν ταύτης ἐπιθυμεῖν σὺ φῄς;
therefore this to-desire you say
THEAG. ἔοικέν γε ἐξ ὧν ἐγὼ εἶπον.
it-seems at-least from what I said
SOC. ὦ μιαρέ, τυραννεῖν ἄρα ἡμῶν ἐπιθυμῶν πάλαι ἐμέμφου 125
O rascal to-be-tyrant then over-us desiring long-ago you-blamed
τῷ πατρὶ ὅτι σε οὐκ ἔπεμπεν εἰς τυραννοδιδασκάλου τινός;
the father that you not he-sent to tyrant-teacher's some
καὶ σύ, ὦ Δημόδοκε, οὐκ αἰσχύνῃ πάλαι εἰδὼς οὗ
and you O Demodocus not are-you-ashamed long-ago knowing what

ἐπιθυμεῖ οὗτος, καὶ ἔχων ὅθι πέμψας αὐτὸν δημιουργὸν
desires this-one and having where having-sent him craftsman
ἂν ἐποίησας τῆς σοφίας ἧς ἐπιθυμεῖ, ἔπειτα φθονεῖς
— you-could-have-made of-the wisdom which he-desires then begrudge
τε αὐτῷ καὶ οὐκ ἐθέλεις πέμπειν; ἀλλὰ νῦν — ὁρᾷς; —
both him and not are-willing to-send but now you-see
ἐπειδὴ ἐναντίον ἐμοῦ κατείρηκέ σου, κοινῇ βουλευώμεθα
since before me he-has-accused you in-common let-us-deliberate
ἐγώ τε καὶ σὺ ἐς τίνος ἂν αὐτὸν πέμποιμεν καὶ διὰ
I both and you to whose — him we-should-send and through
τὴν τίνος συνουσίαν σοφὸς ἂν γένοιτο τύραννος;
the whose company wise — he-might-become tyrant

b DEM. ναὶ μὰ Δία, ὦ Σώκρατες, βουλευώμεθα δῆτα, ὡς
yes by Zeus O Socrates let-us-deliberate indeed as
δοκεῖ γέ μοι βουλῆς δεῖν περὶ τούτου οὐ φαύλης.
it-seems at-least to-me counsel to-need about this not slight

SOC. ἔασον, ὠγαθέ. διαπυθώμεθα αὐτοῦ πρῶτον ἱκανῶς.
let-be good-sir let-us-question him first sufficiently

DEM. πυνθάνου δή.
question indeed

SOC. τί οὖν ἂν εἰ Εὐριπίδῃ τι προσχρησαίμεθα, ὦ
what then — if Euripides at-all we-should-use O
Θέαγες; Εὐριπίδης γάρ πού φησιν —
Theages Euripides for somewhere says

σοφοὶ τύραννοι τῶν σοφῶν συνουσίᾳ·
wise tyrants of-the wise by-company

εἰ οὖν ἔροιτό τις τὸν Εὐριπίδην· "ὦ Εὐριπίδη, τῶν τί c
if then should-ask anyone — Euripides O Euripides of-those in-what
σοφῶν συνουσίᾳ φῂς σοφοὺς εἶναι τοὺς τυράννους;"
wise by-company do-you-say wise to-be the tyrants
ὥσπερ ἂν εἰ εἰπόντα —
as — if having-said

σοφοὶ γεωργοὶ τῶν σοφῶν συνουσίᾳ,
wise farmers of-the wise by-company

ἠρόμεθα "τῶν τί σοφῶν;" τί ἂν ἡμῖν ἀπεκρίνατο;
we-asked of-those in-what wise what — to-us would-he-have-answered
ἆρ' ἂν ἄλλο τι ἢ τῶν τὰ γεωργικά;
then — other anything than of-those in-the farming-things
THEAG. οὔκ, ἀλλὰ τοῦτο.
no but this
SOC. τί δὲ εἰ εἶπε —
what and if he-said

σοφοὶ μάγειροι τῶν σοφῶν συνουσίᾳ,
wise cooks of-the wise by-company

εἰ ἠρόμεθα· "τῶν τί σοφῶν;" τί ἂν ἡμῖν ἀπεκρίνατο;
if we-asked of-those in-what wise what — to-us would-he-have-answered
οὐχ ὅτι τῶν μαγείρων;
not that of-the cooks
THEAG. ναί.
yes

SOC. τί δ' εἰ —
what and if

σοφοὶ παλαισταὶ τῶν σοφῶν συνουσίᾳ
wise wrestlers of-the wise by-company

d εἶπεν, εἰ ἠρόμεθα· "τῶν τί σοφῶν;" ἆρα οὐκ ἂν τῶν
he-said if we-asked of-those in-what wise then not — of-those
παλαίειν ἔφη;
to-wrestle would-he-have-said
THEAG. ναί.
yes
SOC. ἐπειδὴ δὲ εἶπε —
since and he-said

σοφοὶ τύραννοι τῶν σοφῶν συνουσίᾳ,
wise tyrants of-the wise by-company

ἡμῶν ἐρωτώντων· "τῶν τί σοφῶν λέγεις, ὦ Εὐριπίδη;"
us asking of-those in-what wise do-you-mean O Euripides
τί ἂν φαίη; ποῖα ἂν εἶναι ταῦτα;
what — would-he-say what-sort — to-be these-things
THEAG. ἀλλὰ μὰ Δί' οὐκ οἶδ' ἔγωγε.
but by Zeus not know I-at-least
SOC. ἀλλὰ βούλει ἐγώ σοι εἴπω;
but do-you-wish I to-you should-tell
THEAG. εἰ σὺ βούλει.
if you wish
SOC. ταῦτ' ἐστὶν ἅπερ ἔφη Ἀνακρέων τὴν Καλλικρίτην
these-things are which-very said Anacreon — Callicrite
ἐπίστασθαι· ἢ οὐκ οἶσθα τὸ ᾆσμα;
to-know or not do-you-know the song

THEAG. ἔγωγε.
I-at-least

SOC. τί οὖν; τοιαύτης τινὸς καὶ σὺ συνουσίας ἐπιθυμεῖς e
what then such some also you company do-you-desire
ἀνδρὸς ὅστις τυγχάνει ὁμότεχνος ὢν Καλλικρίτῃ τῇ
of-a-man who happens fellow-craftsman being with-Callicrite the
Κυάνης καὶ "ἐπίσταται τυραννικά," ὥσπερ ἐκείνην ἔφη
(daughter)-of-Cyane and knows tyrannical-things as that-one said
ὁ ποιητής, ἵνα καὶ σὺ ἡμῖν τύραννος γένῃ καὶ τῇ πόλει;
the poet so-that also you to-us tyrant may-become and to-the city

THEAG. πάλαι, ὦ Σώκρατες, σκώπτεις καὶ παίζεις πρός με.
long-ago O Socrates you-mock and jest toward me

SOC. τί δέ; οὐ ταύτης φῂς τῆς σοφίας ἐπιθυμεῖν ᾗ
what and not this do-you-say the wisdom to-desire by-which
πάντων ἂν τῶν πολιτῶν ἄρχοις; τοῦτο δὲ ποιῶν ἄλλο
all — the citizens you-would-rule this but doing other
τι ἢ τύραννος ἂν εἴης;
anything than tyrant — would-you-be

THEAG. εὐξαίμην μὲν ἂν οἶμαι ἔγωγε τύραννος γενέσθαι, 126
I-would-pray indeed — I-think I-at-least tyrant to-become
μάλιστα μὲν πάντων ἀνθρώπων, εἰ δὲ μή, ὡς πλείστων·
most indeed of-all humans if but not as of-the-most
καὶ σύ γ' ἂν οἶμαι καὶ οἱ ἄλλοι πάντες ἄνθρωποι —
and you at-least — I-think and the others all humans
ἔτι δέ γε ἴσως μᾶλλον θεὸς γενέσθαι — ἀλλ' οὐ
further and at-least perhaps rather god to-become but not
τούτου ἔλεγον ἐπιθυμεῖν.
this I-said to-desire

SOC. ἀλλὰ τί δή ἐστί ποτε οὗ ἐπιθυμεῖς; οὐ τῶν
but what indeed is ever what you-desire not the
πολιτῶν φῂς ἄρχειν ἐπιθυμεῖν;
citizens you-say to-rule to-desire

THEAG. οὐ βίᾳ γε οὐδ' ὥσπερ οἱ τύραννοι ἀλλ' ἑκόντων,
not by-force at-least nor as the tyrants but willing
ὥσπερ καὶ οἱ ἄλλοι οἱ ἐν τῇ πόλει ἐλλόγιμοι ἄνδρες.
as also the others those in the city notable men
SOC. ἆρά γε λέγεις ὥσπερ Θεμιστοκλῆς καὶ Περικλῆς
then at-least do-you-mean like Themistocles and Pericles
καὶ Κίμων καὶ ὅσοι τὰ πολιτικὰ δεινοὶ γεγόνασιν;
and Cimon and as-many-as in-the political-affairs clever have-been
THEAG. νὴ Δία τούτους λέγω.
by Zeus these I-mean
b SOC. τί οὖν εἰ τὰ ἱππικὰ ἐτύγχανες ἐπιθυμῶν σοφὸς
what then if in-the horsemanship you-happened desiring wise
γενέσθαι; παρὰ τίνας ἂν ἀφικόμενος ᾠήθης δεινὸς
to-become to whom — having-come would-you-have-thought clever
ἔσεσθαι ἱππεύς; ἢ παρ' ἄλλους τινὰς ἢ τοὺς ἱππικούς;
to-be horseman truly to others some than the horsemen
THEAG. μὰ Δία οὐκ ἔγωγε.
by Zeus not I-at-least
SOC. ἀλλὰ παρ' αὐτοὺς αὖ τοὺς δεινοὺς ὄντας ταῦτα,
but to them again the clever being in-these-things
καὶ οἷς εἰσίν τε ἵπποι καὶ χρῶνται ἑκάστοτε καὶ
and to-whom are both horses and they-use each-time both
οἰκείοις καὶ ἀλλοτρίοις πολλοῖς.
their-own and others' many
THEAG. δῆλον ὅτι.
clear that
c SOC. τί δὲ εἰ τὰ ἀκοντιστικὰ σοφὸς ἐβούλου γενέσθαι;
what and if in-the javelin-throwing wise you-wished to-become
οὐ παρὰ τοὺς ἀκοντιστικοὺς ᾤου ἂν ἐλθὼν σοφὸς
not to the javelin-throwers would-you-think — having-gone wise

ἔσεσθαι τούτους, οἷς ἔστιν τε ἀκόντια καὶ πολλοῖς καὶ
to-be these to-whom are both javelins and many both
ἀλλοτρίοις καὶ οἰκείοις ἑκάστοτε χρῶνται ἀκοντίοις;
others' and their-own each-time they-use javelins
THEAG. ἔμοιγε δοκεῖ.
to-me-at-least it-seems
SOC. λέγε δή μοι· ἐπεὶ δὲ δὴ τὰ πολιτικὰ βούλει
tell indeed me since and indeed in-the political-affairs you-wish
σοφὸς γενέσθαι, οἴει παρ' ἄλλους τινὰς ἀφικόμενος
wise to-become do-you-think to others some having-come
σοφὸς ἔσεσθαι ἢ τοὺς πολιτικοὺς τούτους, τοὺς αὐτούς
wise to-be than the politicians these the themselves
τε δεινοὺς ὄντας τὰ πολιτικὰ καὶ χρωμένους ἑκάστοτε
both clever being in-the political-affairs and dealing each-time
τῇ τε αὑτῶν πόλει καὶ ἄλλαις πολλαῖς, καὶ Ἑλληνίσιν
with-the both their-own city and others many and with-Greek
προσομιλοῦντας πόλεσιν καὶ βαρβάροις; ἢ δοκεῖς ἄλλοις
associating cities and barbarian or do-you-think with-others
τισὶν συγγενόμενος σοφὸς ἔσεσθαι ταῦτα ἅπερ
some having-associated wise to-be in-these-things in-which-very
οὗτοι, ἀλλ' οὐκ αὐτοῖς τούτοις;
these but not with-themselves these
THEAG. ἀκήκοα γάρ, ὦ Σώκρατες, οὓς σέ φασιν λέγειν d
I-have-heard for O Socrates which you they-say to-speak
τοὺς λόγους, ὅτι τούτων τῶν πολιτικῶν ἀνδρῶν οἱ υἱεῖς
the speeches that of-these the political men the sons
οὐδὲν βελτίους εἰσὶν ἢ οἱ τῶν σκυτοτόμων· καί μοι
nothing better are than the of-the shoemakers and to-me
δοκεῖς ἀληθέστατα λέγειν ἐξ ὧν ἐγὼ δύναμαι αἰσθέσθαι.
you-seem most-truly to-speak from what I can to-perceive
ἀνόητος ἂν οὖν εἴην εἰ οἰοίμην τινὰ τούτων ἐμοὶ
foolish — then would-I-be if I-should-think any of-these to-me

μὲν ἂν παραδοῦναι τὴν αὑτοῦ σοφίαν, τὸν δὲ ὑὸν τὸν
indeed — to-hand-over the his-own wisdom the but son the
αὑτοῦ μηδὲν ὠφελῆσαι, εἴ τι οἷός τ' ἦν εἰς ταῦτα
his-own nothing to-benefit if in-any-way able — he-was in these-things
ὠφελεῖν ἄλλον ὁντιναοῦν ἀνθρώπων.
to-benefit other anyone-whatever of-humans

e SOC. τί οὖν ἄν, ὦ βέλτιστε ἀνδρῶν, χρήσαιο σαυτῷ, εἴ σοι
what then — O best of-men would-you-do with-yourself if to-you
ἐπειδὴ γένοιτο ὑὸς τοιαῦτα πράγματα παρέχοι, καὶ φαίη
when there-were a-son such troubles he-should-provide and should-say
μὲν ἂν ἐπιθυμεῖν ἀγαθὸς γενέσθαι ζωγράφος, καὶ μέμφοιτο
indeed — to-desire good to-become painter and should-blame
σοὶ τῷ πατρὶ ὅτι οὐκ ἐθέλεις ἀναλίσκειν εἰς αὐτὸν τούτων
you the father that not you-are-willing to-spend on him these
αὐτῶν ἕνεκα ἀργύριον, τοὺς δὲ δημιουργοὺς αὐτοῦ τούτου,
very for-the-sake silver the and craftsmen of-it this
τοὺς ζωγράφους, ἀτιμάζοι τε καὶ μὴ βούλοιτο παρ' αὐτῶν
the painters should-dishonor both and not should-wish from them
μανθάνειν; ἢ τοὺς αὐλητάς, βουλόμενος αὐλητὴς γενέσθαι,
to-learn or the flute-players wishing flute-player to-become
ἢ τοὺς κιθαριστάς; ἔχοις ἂν αὐτῷ ὅτι χρῷο καὶ ὅποι
or the lyre-players could-you — for-him what you-should-do and whither
πέμποις ἄλλοσε μὴ ἐθέλοντα παρὰ τούτων μανθάνειν;
you-should-send elsewhere not willing from these to-learn

THEAG. μὰ Δία οὐκ ἔγωγε.
by Zeus not I-at-least

φημι εἶναι δυνατὸν ἀνθρώποις μακαρίοις τε καὶ εὐδαίμοσιν
I-say to-be possible for-humans blessed both and happy
γενέσθαι πλὴν ὀλίγων — μέχριπερ ἂν ζῶμεν τοῦτο
to-become except few as-long-as — we-live this
διορίζομαι· καλὴ δὲ ἐλπὶς τελευτήσαντι τυχεῖν ἁπάντων
I-define fine but hope having-died to-obtain all-things
ὧν ἕνεκά τις προθυμοῖτ' ἂν ζῶν τε ὡς κάλλιστ' ἂν ζῆν
of-which for-the-sake anyone would-be-eager — living both as most-finely — to-live
κατὰ δύναμιν καὶ τελευτήσας τελευτῆς τοιαύτης τυχεῖν —
according-to power and having-died end such to-obtain
λέγω δ' οὐδὲν σοφόν, ἀλλ' ὅπερ ἅπαντες Ἕλληνές τε
I-say and nothing wise but what-very all Greeks both
καὶ βάρβαροι γιγνώσκομέν τινα τρόπον, ὡς ἐξ ἀρχῆς τὸ
and barbarians know in-some way that from beginning the
γενέσθαι χαλεπὸν ἅπαντι ζῴῳ· πρῶτον μὲν τὸ μετασχεῖν
to-be-born hard for-every animal first indeed the to-share

τῆς τῶν κυουμένων ἕξεως, ἔπειτ᾽ αὖ τὸ γίγνεσθαι, καὶ
of-the of-the being-conceived condition then again the to-be-born and
ἔτι τὸ τρέφεσθαι καὶ παιδεύεσθαι, διὰ πόνων μυρίων
further the to-be-nourished and to-be-educated through toils countless
ταῦτα γίγνεσθαι σύμπαντα, ὥς φαμεν ἅπαντες.
these-things to-come-about all-together as we-say all
καὶ χρόνος βραχὺς ἄν τις εἴη πρὸς λογισμὸν μή τοι b
and time short — some would-be toward reckoning not surely
τῶν μοχθηρῶν, ἀλλ᾽ ὃ πᾶς ἂν ὑπολάβοι μέτριον. οὗτος
of-the wretched but which everyone — would-suppose moderate this
δὲ σχεδὸν ἀναπνοὴν δοκεῖ ποιεῖν τινα κατὰ μέσον πῃ
and nearly a-breathing-space seems to-make some about middle somewhere
βίον τὸν ἀνθρώπινον· ταχύ γε μὴν ἐπιλαβὸν γῆρας
life the human quickly at-least indeed having-come-upon old-age
ὁντινοῦν ποιήσει᾽ ἂν μήποτ᾽ ἐθελῆσαι πάλιν ἀναβιῶναι,
anyone-whatever would-make — never to-be-willing again to-live-anew
λογισάμενον τὸν βεβιωμένον ἑαυτῷ βίον, ὅστις μὴ τυγχάνει
having-reckoned the lived by-himself life whoever not happens
παιδικῆς δόξης μεστὸς ὤν. τούτων δὴ τί ποτέ μοι
childish opinion full being of-these indeed what ever to-me
τεκμήριον; ὅτι πέφυκεν ταύτῃ τὸ νῦν ζητούμενον τῷ
proof that it-is-by-nature in-this-way the now sought in-the
λόγῳ. ζητοῦμεν δὲ δὴ τίνα τρόπον σοφοὶ γενησόμεθα,
argument we-seek and indeed in-what way wise we-will-become
ὡς οὔσης τινὸς ἑκάστοις ταύτης τῆς δυνάμεως· ἡ δὲ
as being some for-each of-this the power it and
φυγῇ φεύγει τότε ὅταν τις πρός τινα φρόνησιν ἴῃ τῶν
in-flight flees then when anyone toward some prudence goes of-the
λεγομένων τεχνῶν ἢ φρονήσεων ἤ τινων ἄλλων τοιούτων
so-called arts or prudences or some other such
ὡς οἰόμεθα ἐπιστημῶν, ὡς ἀξίας τούτων οὐδεμιᾶς οὔσης
as we-think knowledges as worthy of-these none being

ἐπίκλησιν ῥηθῆναι τῆς περὶ ταῦτα σοφίας τἀνθρώπινα,
title to-be-called of-the about these-things wisdom the-human-affairs
τῆς δὲ ψυχῆς σφόδρα πεποιθυίας καὶ μαντευομένης ὡς
of-the but soul greatly trusting and divining as
οὔσης αὐτῇ κατά τινα φύσιν ταύτης, τίς δέ ἐστιν καὶ πότε
being to-it by some nature this what but it-is and when
καὶ πῶς, οὐ πάνυ δυναμένης ἐξευρίσκειν. ἆρ᾽ οὐ τούτῳ
and how not very being-able to-find-out then not to-this
σφόδρα προσέοιχ᾽ ἡμῶν ἡ περὶ σοφίαν ἀπορία καὶ ζήτησις,
greatly resembles our the about wisdom perplexity and search
πλείων τῆς ἐλπίδος ἑκάστῳ γιγνομένη τῶν ὅσοι
greater than-the hope for-each becoming of-those as-many-as
ἐν ἡμῖν δυνατοὶ γίγνονται φρονίμως αὑτοὺς ἄλλους τε
among us able become prudently themselves others both
ἐξετάσαι συμφώνως διὰ λόγων πάντων καὶ πάντῃ
to-examine harmoniously through arguments all and in-every-way
λεγομένων; ταῦτα οὐχ οὕτως ἢ ταύτῃ συμφήσομεν ἔχειν;
said these-things not so or in-this-way shall-we-agree to-be
d CLIN. συμφήσομεν ἐπ᾽ ἐλπίδι σοι ἴσως ταῦτ᾽, ὦ ξένε,
we-shall-agree in hope with-you perhaps these-things O stranger
τῇ μετὰ σοῦ κατὰ χρόνον ἂν γενομένῃ, δοξάσαι περὶ
the with you in time — having-come to-opine about
αὐτῶν εἰς αὖθις τὸ ἀληθέστατον.
them for again the truest
ATH. τὰς ἄλλας τοίνυν ὅσαι ἐπιστῆμαι μέν εἰσιν
the others then as-many-as knowledges indeed are
λεγόμεναι, σοφὸν δὲ οὐκ ἀποτελοῦσιν τὸν λαμβάνοντά
called wise but not they-render the-one acquiring
τε αὐτὰς καὶ ἔχοντα, πρῶτον διεξιτέον, ὅπως
both them and having first it-must-be-gone-through so-that

ταύτας ἐκποδὼν θέμενοι, πειρώμεθα ἐκείνας ὧν δεόμεθα
these out-of-the-way having-set we-may-try those of-which we-need
παραθέσθαι τε καὶ παραθέμενοι μανθάνειν.
to-set-beside both and having-set-beside to-learn
πρῶτον μὲν τοίνυν ὧν πρῶτον δεῖ θνητῷ γένει, 975
first indeed then of-which first it-is-needful for-mortal race
ἴδωμεν ὡς εἰσὶ μὲν ἀναγκαιόταται σχεδὸν ἀληθῶς τε
let-us-see that they-are indeed most-necessary nearly truly both
πρῶται, ὁ δὲ ἐπιστήμων αὐτῶν γιγνόμενος, εἰ καὶ κατ᾽
first the and knowing of-them becoming if even at
ἀρχὰς ἔδοξέν τις εἶναί ποτε σοφός, οὔκουν νῦν γε
beginnings seemed anyone to-be ever wise not-then now at-least
οὔτε σοφὸς εἶναι δοξάζεται ὀνείδη τε ἴσχει μᾶλλον ἀπὸ
either wise to-be is-opined reproaches both he-has rather from
τῆς τοιαύτης ἐπιστήμης.
the such knowledge
ἐροῦμεν δὴ αἵ τ᾽ εἰσὶν καὶ ὅτι πᾶς ἀνὴρ αὐτάς, σχεδὸν b
we-will-say indeed which both they-are and that every man them nearly
ὅσοις ἀγὼν πρόκειται τοῦ δοκεῖν ὡς ἄριστον ἄνδρα
to-whom a-contest is-set-before of-the to-seem as best man
συμβῆναι γενόμενον ἄν, φεύγει διὰ τὰς κτήσεις τῆς
to-happen having-become — flees because-of the acquisitions of-the
φρονήσεώς τε καὶ ἐπιτηδεύσεως. ἔστω δὴ πρῶτον μὲν ἡ
prudence both and practice let-it-be indeed first indeed the
τῆς ἀλληλοφαγίας τῶν ζῴων ἡμᾶς τῶν μέν, ὡς ὁ μῦθός
of-the eating-of-one-another of-the animals us the-ones indeed as the story
ἐστιν, τὸ παράπαν ἀποστήσασα, τῶν δὲ εἰς τὴν νόμιμον
is the altogether having-removed the-others and into the lawful
ἐδωδὴν καταστήσασα. ἵλεῳ δ᾽ ἡμῖν οἱ πρόσθεν εἴησάν
eating having-set gracious and to-us the former may-be
τε καὶ εἰσίν — οἵτινες μὲν γὰρ οὖν ἐλέγομεν, πρῶτοι
both and are who indeed for then we-said first

χαιρέτωσαν — ἡ δ' οὖν ἀλφίτων τε καὶ ἀλεύρων
let-them-fare-well the but anyway of-barley-groats both and of-meal
ποίησις ἅμα καὶ τροφὴ καλὴ μὲν καὶ ἀγαθή, σοφὸν δὲ
making at-once and nourishment fine indeed and good wise but
ἄνδρα τελέως οὐκ ἐθελήσει ποτὲ ἀπεργάσασθαι· τοῦτο
man completely not it-will-be-willing ever to-produce this
γὰρ αὐτό, ἡ τῆς ποιήσεως ἐπίκλησις, τῶν ποιουμένων
for itself the of-the making name of-the things-made
αὐτῶν δυσχέρειαν ἀπεργάζοιτ' ἄν. σχεδὸν δ' οὐδὲ χώρας
themselves disgust would-produce — nearly and nor of-land
συμπάσης γεωργία· οὐ γὰρ τέχνῃ ἀλλὰ φύσει κατὰ
all-together farming not for by-art but by-nature according-to
θεὸν πάντες φαινόμεθα γῆν μετακεχειρίσθαι. καὶ μὴν οὐδ'
god all appear earth to-have-taken-in-hand and indeed nor
ἡ τῶν οἰκήσεών γε συνυφὴ καὶ σύμπασα οἰκοδομία
the of-the dwellings at-least weaving-together and all-together house-building
καὶ σκευῶν πάντων ἀπεργαστική, χαλκεία τε καὶ ἡ
and of-utensils all productive smithing both and the
τῶν τεκτονικῶν καὶ πλαστικῶν καὶ πλεκτικῶν καὶ ἔτι
of-the carpentry and modeling and plaiting and further
συμπάντων ὀργάνων παρασκευή, δήμῳ τὸ πρόσφορον
of-all-together instruments preparation to-the-people the useful
ἔχουσα, ἀλλ' οὐκ ἐπ' ἀρετῇ λεγομένη. καὶ μὴν οὐδ' ἡ
having but not for virtue being-called and indeed nor the
σύμπασα θηρευτική, πολλή περ καὶ τεχνικὴ γεγονυῖα, τό
all-together hunting much very and artful having-become the
γε μεγαλοπρεπὲς σὺν τῷ σοφῷ οὐκ ἀποδίδωσιν. οὐ
at-least magnificence with the wise not renders not
μὴν οὐδὲ μαντική γε οὐδ' ἑρμηνευτικὴ τὸ παράπαν·
indeed either divination at-least or interpretation the altogether
τὸ λεγόμενον γὰρ οἶδεν μόνον, εἰ δ' ἀληθές, οὐκ ἔμαθεν.
the thing-said for it-knows only if but true not it-learned

ὅτε δὴ τὴν τῶν ἀναγκαίων ὁρῶμεν κτῆσιν διὰ τέχνης μὲν d
when indeed the of-the necessities we-see acquisition through art indeed
ἀπεργαζομένην, τούτων δὲ οὐδεμίαν οὐδένα σοφὸν ποιοῦσαν,
being-produced of-these but none anyone wise making
τό γε μετὰ τοῦτο παιδιά τις ἂν λείποιτο, μιμητικὴ
the at-least after this a-play some — would-be-left imitative
μὲν τὸ πλεῖστον ἀλλ᾽ οὐδαμῇ σπουδαία. πολλοῖς μὲν
indeed the most-part but in-no-way serious with-many indeed
γὰρ ὀργάνοις μιμοῦνται, πολλοῖς δ᾽ αὐτῶν τῶν σωμάτων
for instruments they-imitate with-many and of-them the bodies
οὐ πάντως εὐσχήμοσι μιμήμασιν, τά τε κατὰ λόγους καὶ
not in-every-way graceful imitations the both in speeches and
μοῦσαν πᾶσαν, καὶ ὅσων γραφικὴ μήτηρ, πολλῶν
music all and of-as-many-things-as painting mother of-many
καὶ παντοίων ποικιλμάτων ἀποτελουμένων ἐν πολλοῖς
and of-all-kinds embroideries being-produced in many
ὑγροῖς καὶ ξηροῖς γένεσιν· ὧν σοφὸν οὐδένα εἰς οὐδὲν
wet and dry kinds of-which wise no-one in anything
σπουδῇ τῇ μεγίστῃ δημιουργοῦντα ἡ μιμητικὴ παρέχεται.
with-earnestness the greatest producing the imitative provides
πάντων δ᾽ ἐξειργασμένων τὸ λοιπὸν βοήθεια γίγνοιτ᾽ 976
all-things and having-been-wrought the rest help might-come
ἂν μυρία μυρίοις, ἡ μὲν μεγίστη τε καὶ εἰς πλεῖστα
— countless for-countless the indeed greatest both and for most-things
πολεμικὴ κληθεῖσα, στρατηγικὴ τέχνη, εὐδοκιμωτάτη πρὸς
the-war-art called general's art most-esteemed for
χρείαν, εὐτυχίας πλείστης δεομένη, μᾶλλον δὲ ἀνδρείᾳ
use of-good-fortune most needing rather but to-courage
κατὰ φύσιν ἢ σοφίᾳ δεδομένη.
by nature than to-wisdom given

Medicine, piloting, and advocacy also fall short, as does natural cleverness. The knowledge sought is the one whose loss would make man the most senseless of animals: number, given by a god, Heaven, the cause of all goods, whose turning stars bring the seasons. Without number there is no reason, and without reason no wisdom, the greatest part of virtue, nor happiness; nor could any of the arts named before remain.

b ΑΤΗ. ἣν δὲ καλοῦσι μὲν ἰατρικήν, βοήθεια δέ που καὶ
which and they-call indeed medicine help and surely also
αὕτη σχεδὸν ὅσων ὧραι ψύχει καὶ καύματι ἀκαίρῳ
this nearly of-as-many-as seasons with-cold and with-heat unseasonable
καὶ πᾶσι τοῖς τοιούτοις ληίζονται τὴν τῶν ζῴων φύσιν.
and with-all the such-things plunder the of-the animals nature
εὐδόκιμον δὲ οὐδὲν τούτων εἰς σοφίαν τὴν ἀληθεστάτην·
esteemed but nothing of-these for wisdom the truest
ἄμετρα γὰρ δόξαις φορεῖται τοπαζόμενα. βοηθοὺς δέ που
unmeasured for by-opinions is-borne being-guessed helpers and surely
καὶ τοὺς κυβερνήτας ἅμα καὶ τοὺς ναύτας ἐροῦμεν, καὶ
also the pilots at-once and the sailors we-will-call and
τούτων ἄνδρα σοφὸν μηδένα τις ἡμᾶς παραμυθούμενος ἐξ
of-these man wise none anyone us consoling from
ἁπάντων διαγγελλέτω· οὐ γὰρ ἂν εἰδείη τις πνεύματος
all let-him-proclaim not for — would-know anyone of-wind
ὀργὴν οὐδὲ φιλίαν, ὃ προσφιλὲς ἁπάσῃ κυβερνητικῇ. καὶ
wrath nor friendship which dear to-all piloting and
μὴν οὐδ' ὁπόσοι βοηθοὶ δίκαις ἐν τῇ τοῦ λέγειν ῥώμῃ φασὶ
indeed nor as-many-as helpers in-lawsuits in the of-the speaking strength say
γίγνεσθαι, μνήμῃ καὶ τριβῇ δόξης ἤθεσιν προσέχοντες τὸν
to-become by-memory and practice of-opinion to-characters applying the
νοῦν, ἀληθείας δὲ τῶν ὄντως δικαίων ἐκτὸς παρεσφαλμένοι.
mind of-truth but of-the truly just outside having-gone-astray

λοιπὴ δ' ἔτι πρὸς δόξαν σοφίας ἐστίν τις ἄτοπος δύναμις, c
remaining and still toward reputation of-wisdom is some strange power
ἣν φύσιν ἂν οἱ πολλοὶ μᾶλλον ἢ σοφίαν ὀνομάσειαν,
which nature — the many rather than wisdom would-name
τότε ὅταν τινά τις συννοῇ ῥᾳδίως μὲν ὅτιπερ ἂν
then when someone anyone perceives easily indeed whatever —
μανθάνῃ μανθάνοντα, μάλα δὲ πολλὰ καὶ ἀσφαλῶς
he-learns learning very and many-things and securely
μνημονεύοντα, ὅταν τε τὸ πρόσφορον ἑκάστῳ διαμνημονεύῃ
remembering when both the fitting for-each keeps-in-mind
τις, ὅτι γιγνόμενον ἂν πρέποι, τοῦτο δὲ ταχὺ δρᾷ·
anyone that happening — it-would-befit this and quickly does
ταῦτα γὰρ ἅπαντα οἱ μὲν φύσιν, οἱ δὲ σοφίαν,
these-things for all the-ones indeed nature the-others and wisdom
οἱ δὲ ἀγχίνοιαν θήσουσιν φύσεως, σοφὸν δὲ ὄντως
the-others and quickness-of-wit will-set of-nature wise but truly
οὐδενὶ τούτων οὐδεὶς τῶν ἐμφρόνων ἐθελήσει ποτὲ καλεῖν.
for-none of-these no-one of-the sensible will-be-willing ever to-call
ἀλλὰ μὴν δεῖ φανῆναί γέ τινα ἐπιστήμην ἣν ἔχων d
but indeed it-is-needful to-appear at-least some knowledge which having
σοφὸς γίγνοιτ' ἂν ὁ σοφὸς ὄντως ὢν καὶ μὴ μόνον
wise would-become — the wise truly being and not only
δοξαζόμενος. ἴδωμεν δή. χαλεπῷ μὲν γὰρ λόγῳ
being-opined let-us-see indeed hard indeed for with-argument
παντάπασιν ἐπιχειροῦμεν, ἑτέραν πάρεξ τῶν εἰρημένων
altogether we-attempt other besides the things-said
εὑρεῖν, ἣ σοφία μὲν λέγοιτ' ἂν ὄντως τε καὶ εἰκότως,
to-find which wisdom indeed might-be-called — truly both and reasonably
ὁ δὲ λαβὼν οὔτε βάναυσος οὔτ' ἠλίθιος ἔσται, σοφὸς δὲ
the-one and having-taken neither vulgar nor foolish will-be wise but
καὶ ἀγαθὸς δι' αὐτὴν πολίτης τε καὶ ἄρχων καὶ ἀρχόμενος
and good through it citizen both and ruler and ruled

ἐνδίκως ἔσται πόλεως ἅμα καὶ ἐμμελής. κατίδωμεν δὴ
justly will-be of-city at-once and harmonious let-us-observe indeed
ταύτην πρώτην, τίς ποτ' ἐκ τῆς ἀνθρωπίνης φύσεως
this first which ever from the human nature
ἐπιστήμη μία διεξελθοῦσα ἢ μὴ παραγενομένη τῶν νῦν
knowledge one having-gone-out or not having-been-present of-the now
παρουσῶν ἀνοητότατον ἂν καὶ ἀφρονέστατον παράσχοιτο
present most-foolish — and most-senseless would-render
ζῷον τὸ τῶν ἀνθρώπων. οὐ δὴ τοῦτό γε πάνυ χαλεπὸν τὸ
animal the of-the humans not indeed this at-least very hard the
κατιδεῖν. μία γὰρ ὡς εἰπεῖν πρὸς μίαν ἡ τὸν ἀριθμὸν δοῦσα
to-observe one for as to-say against one the the number having-given
παντὶ τῷ θνητῷ γένει τοῦτ' ἂν δράσειεν· θεὸν δ' αὐτὸν
to-every the mortal race this — would-do god but him
μᾶλλον ἤ τινα τύχην ἡγοῦμαι δόντα ἡμῖν σῴζειν ἡμᾶς.
rather than some chance I-consider having-given to-us to-save us
977 ὃν δὲ θεὸν ἡγοῦμαι, φράζειν χρή, καίπερ ἄτοπον ὄντα,
which and god I-consider to-tell it-is-needful although strange being
καί πως οὐκ ἄτοπον αὖ· πῶς γὰρ τὸ ἀγαθῶν αἴτιον ἡμῖν
and somehow not strange again how for the of-goods cause to-us
συμπάντων οὐ καὶ τοῦ πολὺ μεγίστου, τῆς φρονήσεως,
of-all-together not also of-the much greatest of-the prudence
αἴτιον ἡγεῖσθαι δεῖ γεγονέναι; τίνα δὴ καὶ σεμνύνων
cause to-consider it-is-needful to-have-been whom indeed also solemnly
ποτὲ λέγω θεόν, ὦ Μέγιλλέ τε καὶ Κλεινία; σχεδὸν Οὐρανόν,
ever do-I-call god O Megillus both and Clinias nearly Heaven
ὃν καὶ δικαιότατον, ὡς σύμπαντες ἄλλοι δαίμονες ἅμα
whom also most-just as all-together other daemons at-once
καὶ θεοί, τιμᾶν τε καὶ εὔχεσθαι διαφερόντως αὐτῷ. τὸ δὲ
and gods to-honor both and to-pray exceptionally to-him the and
καὶ τῶν ἄλλων αἴτιον ἀγαθῶν πάντων ἡμῖν αὐτὸν γεγονέναι
also of-the other cause goods all to-us him to-have-been

πάντες ἂν ὁμολογοῖμεν· δοῦναι δὲ ἅμα καὶ ἀριθμὸν ἡμεῖς
all — would-agree to-have-given and at-once also number we
γε ὄντως αὐτόν φαμεν, ἔτι δὲ καὶ δώσειν, ἐάν τις
at-least truly him we-say further and also will-give if anyone
θέλῃ συνακολουθεῖν. ἐὰν γὰρ ἴῃ τις ἐπὶ θεωρίαν ὀρθὴν
wishes to-follow if for he-goes anyone on contemplation right
τὴν τοῦδε, εἴτε κόσμον εἴτε ὄλυμπον εἴτε οὐρανὸν ἐν ἡδονῇ
the of-this whether cosmos or olympus or heaven in pleasure
τῳ λέγειν, λεγέτω μέν, ἀκολουθείτω δὲ ὅπῃ ποικίλλων
to-anyone to-call let-him-call indeed let-him-follow and where adorning
αὐτὸν καὶ τὰ ἐν αὑτῷ στρέφων ἄστρα πάσας διεξόδους
himself and the in himself turning stars all courses
ὥρας τε καὶ τροφὴν πᾶσιν παρέχεται. καὶ τὴν ἄλλην δὲ
seasons both and nourishment to-all provides and the other and
οὖν φρόνησιν, ὡς φαῖμεν ἄν, σὺν ἀριθμῷ παντί, καὶ
anyway prudence as would-we-say — with number all and
τἆλλ' ἀγαθά· τοῦτο δὲ μέγιστον, ἐάν τις τὴν ἀριθμῶν
the-other goods this but greatest if anyone the of-numbers
αὐτοῦ δόσιν δεξάμενος ἐπεξέλθῃ πᾶσαν τὴν περίοδον.
his gift having-received goes-through all the circuit
ἔτι δὲ σμικρὸν ἐπανελθόντες πως τοῖς λόγοις c
further and a-little having-gone-back somehow in-the arguments
ἀναμνησθῶμεν ὅτι καὶ μάλ' ὀρθῶς ἐνοήσαμεν ὡς, εἴπερ
let-us-recall that also very rightly we-thought that if-indeed
ἀριθμὸν ἐκ τῆς ἀνθρωπίνης φύσεως ἐξέλοιμεν, οὐκ ἄν
number from the human nature we-should-take-away not —
ποτέ τι φρόνιμοι γενοίμεθα. οὐ γὰρ ἂν ἔτι ποτὲ ψυχὴ
ever at-all prudent would-we-become not for — any-longer ever soul
τούτου τοῦ ζῴου πᾶσαν ἀρετὴν λάβοι σχεδόν, ὅτου
of-this the animal all virtue would-take nearly from-which
λόγος ἀπείη· ζῷον δὲ ὅτι μὴ γιγνώσκοι δύο καὶ τρία
reason should-be-absent animal and which not should-know two and three

μηδὲ περιττὸν μηδὲ ἄρτιον, ἀγνοοῖ δὲ τὸ παράπαν
nor odd nor even should-not-know and — altogether
ἀριθμόν, οὐκ ἄν ποτε διδόναι λόγον ἔχοι περὶ ὧν αἰσθήσεις
number not — ever to-give account could about which perceptions
καὶ μνήμας μόνον εἴη κεκτημένον, τὴν δὲ ἄλλην ἀρετήν,
and memories only it-were having-acquired the but other virtue
ἀνδρείαν καὶ σωφροσύνην, οὐδὲν ἀποκωλύει. στερόμενος δὲ
courage and temperance nothing prevents being-deprived and
ἀληθοῦς λόγου σοφὸς οὐκ ἄν ποτε γένοιτο, ὅτῳ δὲ σοφία
of-true reason wise not — ever would-become to-whom and wisdom
μὴ προσείη, πάσης ἀρετῆς τὸ μέγιστον μέρος, οὐκ ἂν
not should-belong of-all virtue the greatest part not —
ἔτι τελέως ἀγαθὸς γενόμενος εὐδαίμων ποτὲ γένοιτο.
any-longer completely good having-become happy ever would-become
οὕτως ἀριθμὸν μὲν ἀνάγκη πᾶσα ὑποτίθεσθαι· διότι δὲ
so number indeed necessity all to-lay-down why but
τοῦτο ἀνάγκη, λόγος ἔτι πλείων πάντων γίγνοιτ᾽ ἂν τῶν
this necessity account still longer than-all would-be — the
εἰρημένων. ἀλλὰ καὶ ὁ νῦν ὀρθῶς ῥηθήσεται, ὅτι καὶ τὰ
things-said but also the now rightly will-be-said that also the
τῶν ἄλλων τεχνῶν λεγόμενα, ἃ νυνδὴ διήλθομεν ἐῶντες
of-the other arts called which just-now we-went-through letting
εἶναι πάσας τὰς τέχνας, οὐδὲ τούτων ἓν οὐδὲν μένει, πάντα
to-be all the arts not-even of-these one nothing remains all
δ᾽ ἀπολείπεται τὸ παράπαν, ὅταν ἀριθμητικήν τις ἀνέλῃ.
and is-lost — altogether when arithmetic anyone takes-away

Number matters not only for the arts but for knowing the divine: it causes every good, and disorder lacks it. The god taught us to count through day and night, the moon waxing and waning over fifteen days, and months and the year, bringing the earth's fruits; harm is human, not divine. In seeking laws, all else seemed easy, but how to become good very hard. All agree the soul must be just, temperate, brave, and wise, but not on what wisdom is.

ΑΤΗ. δόξειε δ' ἂν ἴσως τις βραχέων ἕνεκα ἀριθμοῦ 978
might-seem and — perhaps anyone of-small-things for-the-sake of-number
δεῖσθαι τὸ τῶν ἀνθρώπων γένος, εἰς τὰς τέχνας
to-need the of-the humans race to the arts
ἀποβλέψας — καίτοι μέγα μὲν καὶ τοῦτο — εἰ δέ τις
having-looked-off and-yet great indeed also this if but anyone
ἴδοι τὸ θεῖον τῆς γενέσεως καὶ τὸ θνητόν, ἐν ᾧ καὶ
should-see the divine of-the generation and the mortal in which also
τὸ θεοσεβὲς γνωρισθήσεται καὶ ὁ ἀριθμὸς ὄντως, οὐκ ἂν
the piety will-be-recognized and the number truly not —
ἔτι πᾶς ἄν τις γνοίη σύμπαντα ἀριθμὸν ὅσης
any-longer everyone — anyone would-know all-together number of-how-great
ἡμῖν δυνάμεως αἴτιος ἂν εἴη συγγιγνόμενος — ἐπεὶ καὶ
for-us power cause — it-would-be being-with since also
τὰ κατὰ μουσικὴν πᾶσαν διαριθμουμένων κινήσεώς τε καὶ
the as-to music all of-those-reckoning of-motion both and
φθόγγων δῆλον ὅτι δεῖ — καὶ τὸ μέγιστον, ἀγαθῶν ὡς
of-notes clear that it-is-needful also the greatest of-goods as
πάντων αἴτιον, ὅτι δὲ κακῶν οὐδενός, εὖ τοῦτο γνωστέον,
of-all cause that and of-evils none well this must-be-recognized
ὃ καὶ τάχα γένοιτ' ἄν. ἀλλ' ἡ σχεδὸν ἀλόγιστός τε καὶ
which also perhaps might-happen — but the nearly unreckoned both and
ἄτακτος ἀσχήμων τε καὶ ἄρρυθμος ἀνάρμοστός τε φορά,
disorderly graceless both and unrhythmical unharmonious both movement

καὶ πάνθ' ὁπόσα κακοῦ κεκοινώνηκέν τινος, ἐπιλέλειπται
and all-things as-many-as of-evil have-shared some are-bereft
παντὸς ἀριθμοῦ, καὶ δεῖ τοῦθ' οὕτω διανοεῖσθαι τὸν
of-all number and it-is-needful this so to-think the-one
μέλλοντα εὐδαίμονα τελευτήσειν· καὶ τό γε δὴ δίκαιόν
about happy to-die and the at-least indeed just
τε καὶ ἀγαθὸν καὶ καλὸν καὶ πάντα τὰ τοιαῦτα οὐδείς ποτε
both and good and fine and all the such-things no-one ever
μὴ γιγνώσκων, ἀληθοῦς δόξης ἐπιλαβόμενος, διαριθμήσεται
not knowing true opinion having-grasped will-reckon-out
πρὸς τὸ ἑαυτόν τε καὶ ἕτερον πεῖσαι τὸ παράπαν.
toward the himself both and another to-persuade — altogether
c ἴωμεν δὴ σκεψόμενοι πρὸς τοῦτ' αὐτό, πῶς ἐμάθομεν
let-us-go indeed going-to-consider toward this itself how we-learned
ἀριθμεῖν. φέρε· τὸ γὰρ ἓν δὴ καὶ δύο γέγονε πόθεν ἡμῖν
to-count come the for one indeed and two has-come whence to-us
ὥστ' ἐννοῆσαι, φύσιν ταύτην ἔχουσιν ἐκ τοῦ παντὸς πρὸς
so-as to-conceive nature this having from the all toward
τὸ δυνατοὺς ἐννοεῖν εἶναι; πολλοῖς δὲ ἄλλοις αὖ τῶν
the able to-conceive to-be to-many but other again of-the
ζῴων οὐδ' εἰς αὐτὸ τοῦθ' ἡ φύσις παραγέγονεν, ὥστε
animals not-even for itself this the nature has-come-to so-as
μαθεῖν δυνατοῖς εἶναι παρὰ τοῦ πατρὸς ἀριθμεῖν, παρὰ δ'
to-learn able to-be from the father to-count with but
ἡμῖν τοῦτ' αὐτὸ πρῶτον ἐνῴκισεν ὁ θεός, ὥστε ἱκανοῖς
us this itself first settled-in the god so-that capable
εἶναι δεικνύμενον συννοεῖν, ἔπειτ' ἔδειξεν καὶ δείκνυσιν·
to-be being-shown to-understand then he-showed and shows
ὧν τί κάλλιον ἓν ἑνὸς ἄν τις θεάσαιτο πλὴν τὸ τῆς
of-which what finer one than-one — anyone could-behold except the of-the
ἡμέρας γένος, εἶτα εἰς τὸ τῆς νυκτὸς ἔλθοι μέρος ἔχων
day kind then to the of-the night should-come part having

ὄψιν, ὅθεν ἕτερον πᾶν αὐτῷ φαίνοιτ᾽ ἄν; καὶ ἑλίττων
sight whence other all to-him would-appear — and revolving
δὴ ταῦτα αὐτὰ ὅταν μὴ παύηται πολλὰς μὲν νύκτας,
indeed these very-things when not it-ceases many indeed nights
πολλὰς δὲ ἡμέρας οὐρανός, οὐδέποτε παύεται διδάσκων
many and days heaven never ceases teaching
ἀνθρώπους ἕν τε καὶ δύο, πρὶν ἂν καὶ ὁ δυσμαθέστατος
humans one both and two until — even the slowest-to-learn
ἱκανῶς μάθῃ ἀριθμεῖν· ὡς γὰρ καὶ τρία καὶ τέτταρα καὶ
sufficiently learns to-count as for also three and four and
πολλά, ἕκαστος ἡμῶν ἐπινοήσειεν ἂν ὁρῶν ταῦτα. καὶ ἐκ
many each of-us would-conceive — seeing these-things and from
τούτων ἓν ἐποίησεν τὴν σελήνην ὁ θεὸς ἀπεργασάμενος,
these one made the moon the god having-produced
ἣ τοτὲ μὲν μείζων φαινομένη, τοτὲ δ᾽ ἐλάττων,
which at-one-time indeed greater appearing at-another but smaller
διεξῆλθεν ἄλλην ἀεὶ φαίνουσα ἡμέραν, μέχρι πεντεκαίδεκα
went-through other always showing day until fifteen
ἡμερῶν καὶ νυκτῶν· αὕτη δ᾽ ἔστιν περίοδος, εἰ βούλεταί
days and nights this and is a-circuit if wishes
τις τὸν κύκλον ἕνα ὅλον εἰς ἓν τιθέναι, ὥστε ὡς
anyone the circle one whole into one to-set so-that as
ἔπος εἰπεῖν καὶ τὸ δυσμαθέστατον ἂν μαθεῖν ζῷον, οἷς
a-word to-say even the slowest-to-learn — to-learn animal to-whom
παρέδωκεν φύσιν ὁ θεὸς τοῦ δυνατοῖς εἶναι μανθάνειν.
gave nature the god of-the able to-be to-learn
καὶ μέχρι μὲν τούτων τε καὶ ἐν τούτοις σύμπαν τὸ 979
and up-to indeed these both and in these all-together the
δυνατὸν τῶν ζῴων μάλα ἀριθμητικὸν γέγονε, τὸ καθ᾽
able of-the animals very arithmetical has-become the by
ἓν αὐτὸ σκοποῦν· τὸ δὲ πρὸς ἄλληλα πάντα ἀριθμὸν
one itself considering the and toward one-another all number

ἀεὶ λογίζεσθαι, δοκῶ μὲν μείζονος ἕνεκα, καὶ τούτου
always to-reckon I-think indeed of-greater for-the-sake and of-this
δὲ σελήνην, καθάπερ εἴπομεν, αὐξανομένην καὶ φθίνουσαν
and moon as we-said waxing and waning
ἐμποιήσας, μῆνας πρὸς τὸν ἐνιαυτὸν συνεστήσατο, καὶ
having-put-in months toward the year he-arranged and
πάντα ἀριθμὸν πρὸς ἀριθμὸν ἤρξατο συνορᾶν εὐδαίμονι
all number toward number began to-see-together with-happy
τύχῃ. διὰ δὲ ταῦθ' ἡμῖν καρποί τε καὶ ἐγκύμων ἡ
fortune because-of and these-things to-us fruits both and pregnant the
γῆ γέγονεν, ὥστ' εἶναι τροφὴν πᾶσι τοῖς ζῴοις, ἀνέμων
earth has-become so-as to-be nourishment for-all the animals winds
τε καὶ ὑετῶν γιγνομένων οὐκ ἐξαισίων οὐδὲ ἀμέτρων·
both and rains happening not excessive nor unmeasured
ἀλλ' εἴ τι παρὰ ταῦτα γίγνεται πρὸς τὸ φλαῦρον, οὐ
but if anything beside these-things happens toward the bad not
τὴν θείαν ἀλλὰ τὴν ἀνθρωπίνην αἰτιᾶσθαι χρὴ φύσιν,
the divine but the human to-blame it-is-needful nature
οὐκ ἐν δίκῃ διανέμουσαν τὸν αὑτῶν βίον. ἡμῖν δ' οὖν
not in justice distributing the their-own life to-us and anyway
ζητοῦσιν περὶ νόμων σχεδὸν ἔδοξεν τὰ μὲν ἄλλα ῥᾴδιά
seeking about laws nearly it-seemed the indeed other-things easy
τ' εἶναι γνῶναι τὰ βέλτιστα ἀνθρώποις, καὶ πᾶς ἂν
both to-be to-know the best for-humans and everyone —
ἱκανὸς γίγνεσθαι καὶ συνεῖναι τὰ λεγόμενα καὶ ποιεῖν, εἰ
competent to-become both to-understand the things-said and to-do if
γνοίη τί ποτ' ἔστιν ὃ συμφέρειν εἰκὸς καὶ τί τὸ
he-should-know what ever is that to-be-advantageous likely and what the
μὴ συμφέρον· ἔδοξε δὴ καὶ νῦν ἔτι δοκεῖ τὰ μὲν ἄλλα
not advantageous it-seemed indeed and now still seems the indeed other

ἐπιτηδεύματα πάντα οὐ σφόδρα χαλεπὰ εἶναι, τὸ δὲ τίνα
practices all not very hard to-be the but in-what
τρόπον χρὴ γίγνεσθαι χρηστοὺς ἀνθρώπους παγχάλεπον.
way it-is-needful to-become good humans very-hard
καὶ τὰ μὲν ἄλλα αὖ πάντα κτᾶσθαι χρηστά, τὸ d
and the indeed other-things again all to-acquire good the
λεγόμενον, καὶ δυνατὸν καὶ οὐ χαλεπόν, οὐσίαν τε ὅσην
saying both possible and not hard property both as-much-as
δεῖ καὶ μὴ δεῖ, καὶ σῶμα οἷόν τε δεῖ καὶ
it-is-needful and not it-is-needful and body such-as both it-is-needful and
μή· καὶ ψυχὴν ὅτι μὲν ἀγαθὴν δεῖ, συγχωρεῖ πᾶς
not and soul that indeed good it-is-needful agrees everyone
παντί, τὸ δ' ὅντινα τρόπον ἀγαθήν, ὅτι μὲν αὖ δικαίαν
with-everyone the but in-what way good that indeed again just
καὶ σώφρονα καὶ ἀνδρείαν, καὶ ταῦτα, ὅτι δὲ σοφήν,
and temperate and brave also these-things that but wise
φησὶ μὲν πᾶς δεῖν, ἥντινα δὲ σοφίαν, ὡς ἄρτι
says indeed everyone to-be-needful what but wisdom as just-now
διεληλύθαμεν, οὐδεὶς οὐδενὶ τὸ παράπαν ἔτι συνομολογεῖ
we-have-gone-through no-one with-no-one — at-all still agrees
τῶν πολλῶν. νῦν οὖν δὴ παρὰ πάσας τὰς πρόσθεν
of-the many now then indeed beside all the former
σοφίας οὐ φαύλην τινὰ ἀνευρίσκομεν εἰς αὐτά γε ταῦτα,
wisdoms not poor some we-find for them at-least these-things
τὸ δοκεῖν σοφὸν εἶναι τόν γε μεμαθηκότα ἅπερ καὶ
the to-seem wise to-be the-one at-least having-learned what-very also
διεληλύθαμεν· εἰ δ' ἔστιν σοφὸς ὁ ταῦτ' ἐπιστήμων
we-have-gone-through if but is wise the-one in-these-things knowing
καὶ ἀγαθός, τούτου δὴ πέρι λόγον δεῖ λαβεῖν.
and good of-this indeed about account it-is-needful to-take

e CLIN. ὦ ξένε, ὡς εἰκότως εἶπες ὅτι περὶ μεγάλων μεγάλα
O stranger how reasonably you-said that about great-things great-things
ἐπιχειρεῖς φράζειν.
you-attempt to-tell
ATH. οὐ γὰρ σμικρά, ὦ Κλεινία· τὸ δὲ χαλεπώτερον, ὅτι
not for small O Clinias the but harder that
παντάπασι καὶ πάντως ἀληθῆ.
altogether and in-every-way true-things
CLIN. σφόδρα γε, ὦ ξένε· ἀλλ' ὅμως μὴ ἀποκάμῃς
greatly at-least O stranger but nevertheless not grow-weary
λέγων ὃ φῄς.
saying what you-say
ATH. ναί, μηδὲ σφὼ τοίνυν ἀκούοντε.
yes nor you-two then listening
CLIN. ταῦτ' ἔσται· καὶ ὑπὲρ ἀμφοῖν ἐγώ σοι φράζω.
these-things will-be and on-behalf-of both I to-you say

IV · THE KINDS OF LIVING BEINGS

The lawgiver may honor the gods with hymns. Theogony must be told better than the ancients did: soul is older than body and rules it. Of five bodies, fire, water, air, earth, and ether, soul alone shapes living kinds. The earthly kind moves in disorder, senselessly; the fiery kind, the stars, has finest body and happiest soul. Their ordered, unchanging motion proves their intelligence, though the many think what moves regularly has no soul.

980 ATH. καλῶς. ἐξ ἀρχῆς δὴ ῥητέον ἀνάγκῃ πρῶτον,
finely from beginning indeed it-must-be-said by-necessity first
ὡς φαίνεται, μάλιστα μὲν ἄν, εἰ δυνάμεθα ἑνὶ λαβεῖν
as it-appears most indeed — if we-can by-one to-grasp
ὀνόματι, τίς ἐστιν ἣν οἰόμεθα σοφίαν εἶναι, τοῦτο δ'
name what is-it which we-think wisdom to-be this but

εἰ σφόδρα ἀδυνατοῦμεν, τὸ δεύτερον, τίνες εἰσίν ποτε
if greatly we-are-unable the second which are ever
καὶ ὁπόσαι τινές, ἅς τις λαβὼν σοφὸς ἂν εἴη
and how-many some which anyone having-grasped wise — would-be
κατὰ τὸν ἡμέτερον μῦθον.
according-to the our story
CLIN. λέγοις ἄν.
you-may-speak —
ATH. τὸ δὴ μετὰ τοῦτο ἀνεμέσητον τῷ νομοθέτῃ τὸ κάλλιον b
the indeed after this not-blameworthy for-the lawgiver the finer
τῶν πρότερον εἰρημένων περὶ θεῶν καὶ ἄμεινον ἀπεικάζοντι
than-the before said about gods and better picturing
λέγειν, οἷον παιδιᾷ καλῇ χρωμένῳ καὶ τιμῶντι θεούς,
to-speak as play fine using and honoring gods
ὕμνοις τε καὶ εὐδαιμονίᾳ γεραίροντι διάγειν τὸν αὑτοῦ βίον.
with-hymns both and with-happiness worshiping to-pass the his-own life
CLIN. ἦ καλῶς, ὦ ξένε, λέγεις. εἰ γάρ σοι τοῦτο τέλος εἴη
truly finely O stranger you-speak if for to-you this end might-be
τῶν νόμων, θεοὺς προσπαίσαντι καθαρώτερον δὲ διαγαγόντι
of-the laws gods having-played-with purer and having-passed
τὸν βίον τῆς ἅμα τελευτῆς ἀρίστης τε καὶ καλλίστης τυχεῖν.
the life of-the at-once end best both and finest to-obtain
ATH. πῶς οὖν, ὦ Κλεινία, λέγομεν; ἦ δοκεῖ τοὺς θεοὺς
how then O Clinias do-we-say truly does-it-seem the gods
ὑμνοῦντες σφόδρα τιμῶμεν, εὐχόμενοι τὰ κάλλιστα καὶ
hymning greatly we-honor praying the finest and
ἄριστα περὶ αὐτῶν ἐπιέναι λέγειν ἡμῖν; οὕτως ἢ πῶς λέγεις;
best-things about them to-come-on to-say to-us so or how do-you-say

c CLIN. θαυμαστῶς μὲν οὖν οὕτως. ἀλλ', ὦ δαιμόνιε,
wonderfully indeed then so but O divine-one
πιστεύσας τοῖς θεοῖς εὔχου τε καὶ λέγε τὸν ἐπιόντα σοι
having-trusted in-the gods pray both and say the coming to-you
λόγον τῶν καλῶν περὶ τοὺς θεούς τε καὶ τὰς θεάς.
speech of-the fine-things about the gods both and the goddesses
ATH. ἔσται ταῦτα, ἂν αὐτὸς ὁ θεὸς ἡμῖν ὑφηγῆται.
it-will-be these-things if himself the god us guides
συνεύχου μόνον.
pray-with-me only
CLIN. λέγοις ἂν τὸ μετὰ τοῦτο.
you-may-speak — the after this

d ATH. θεογονίαν τοίνυν καὶ ζῳογονίαν ἀναγκαῖον, ὡς ἔοικεν,
theogony then and zoogony necessary as it-seems
πρῶτόν μοι, κακῶς ἀπεικασάντων τῶν ἔμπροσθεν, βέλτιον
first for-me badly having-pictured those before better
ἀπεικάσαι κατὰ τὸν ἔμπροσθεν λόγον, ἀναλαβόντα
to-picture according-to the former argument having-taken-up
ὃν πρὸς τοὺς ἀσεβεῖς ἐπικεχείρηκα λέγων, φράζων ὡς
which against the impious I-have-attempted saying explaining that
εἰσὶν θεοὶ ἐπιμελούμενοι πάντων, σμικρῶν καὶ μειζόνων,
there-are gods caring-for all small and greater
καὶ σχεδὸν ἀπαραμύθητοι τῶν περὶ τὰ δίκαιά εἰσιν
and nearly inexorable of-the about the just-things are
πράγματα — εἰ δὴ μέμνησθέ γε, ὦ Κλεινία· ἐλάβετε
matters if indeed you-remember at-least O Clinias you-took
μὲν γὰρ δὴ καὶ ὑπομνήματα — καὶ γὰρ ἦν τὰ ῥηθέντα
indeed for indeed also memoranda and for were the said-things
τότε καὶ μάλα ἀληθῆ· τόδε δὲ αὐτῶν ἦν τὸ μέγιστον,
then also very true this and of-them was the greatest
ὅτι πρεσβύτερον εἴη ψυχὴ σώματος ἅπασα παντός — ἆρα
that older is soul than-body all than-all then

μέμνησθε; ἢ πάντως που τοῦτό γε; — ὃ γὰρ ἄμεινον
do-you-remember or wholly surely this at-least what for better
καὶ παλαιότερον καὶ θεοειδέστερον, πιθανὸν ὅτι τοῦ νέου
and older and more-godlike plausible that than-the new
καὶ νεωτέρου καὶ ἀτιμοτέρου, πανταχῇ τε ἄρχον ἀρχομένου
and younger and less-honored in-every-way both ruling than-the-ruled
πρεσβύτερον καὶ ἄγον ἀγομένου πάντῃ. λάβωμεν δὴ
older and leading than-the-led in-every-way let-us-take indeed
τοῦτό γε, ὡς ψυχὴ πρεσβύτερόν ἐστι σώματος.
this at-least that soul older is than-body
εἰ δ' ἔχει τοῦτο οὕτως, τό γε πρῶτον ἡμῖν τοῦ πρώτου 981
if and is this so the at-least first to-us of-the first
τῆς γενέσεως πιθανώτερον ἂν εἴη σχεδὸν ὑπηργμένον·
of-the generation more-plausible — would-be nearly having-been-begun
καὶ θῶμεν δὴ τὴν ἀρχὴν τῆς ἀρχῆς εὐσχημονέστερον
and let-us-set indeed the beginning of-the beginning more-gracefully
ἔχειν, καὶ τῶν μεγίστων σοφίας περὶ θεῶν γενέσεως
to-be and of-the greatest of-wisdom about of-gods generation
ὀρθότατα ἐπιβαίνειν ἡμᾶς.
most-rightly to-set-foot-on us
CLIN. ἔστω ταῦτα εἰς δύναμιν λεγόμενα.
let-it-be these-things to power said
ATH. φέρε δή, ζῷόν γε ἀληθέστατα λέγεσθαι κατὰ
come indeed animal at-least most-truly to-be-called by
φύσιν φῶμεν τοῦτό γε, ὅταν μία συνελθοῦσα σύστασις
nature let-us-say this at-least when one having-come-together constitution
ψυχῆς καὶ σώματος ἀποτέκῃ μίαν μορφήν;
of-soul and of-body brings-forth one shape
CLIN. ὀρθῶς. b
rightly
ATH. ζῷον μὲν δὴ τὸ τοιοῦτον καλεῖται δικαιότατα;
animal indeed indeed the such is-called most-justly

CLIN. ναί.
yes

c ATH. στερεὰ δὲ σώματα λέγεσθαι χρὴ κατὰ τὸν
solid and bodies to-be-called it-is-needful according-to the
εἰκότα λόγον πέντε, ἐξ ὧν κάλλιστα καὶ ἄριστά τις ἂν
likely account five from which finest and best anyone —
πλάττοι, τὸ δὲ ἄλλο γένος ἅπαν ἔχει μορφὴν μίαν· οὐ γάρ
could-mold the but other kind all has shape one not for
ἐστιν ἀσώματον ὅτι τ' ἄλλο γίγνοιτ' ἂν καὶ χρῶμα
is incorporeal that both other could-come-to-be — and color
οὐδὲν οὐδαμῶς οὐδέποτ' ἔχον, πλὴν τὸ θειότατον ὄντως
none in-no-way never having except the most-divine truly
ψυχῆς γένος. τοῦτο δ' ἐστὶ σχεδὸν ᾧ μόνῳ πλάττειν καὶ
of-soul kind this and is nearly to-which alone to-mold and
δημιουργεῖν προσήκει, σώματι δέ, ὃ λέγομεν, πλάττεσθαι
to-fashion belongs to-body and what we-say to-be-molded
καὶ γίγνεσθαι καὶ ὁρᾶσθαι· τῷ δέ — λέγωμεν πάλιν· οὐ
and to-come-to-be and to-be-seen to-the and let-us-say again not
γὰρ ἅπαξ ῥητέον — ἀοράτῳ τε εἶναι καὶ γιγνώσκοντι
for once must-be-said invisible both to-be and knowing
νοητῷ τε, μνήμης μεταλαβόντι λογισμοῦ τε ἐν περιτταῖς
thinkable both of-memory having-partaken of-calculation both in odd
τε καὶ ἀρτίαις ἅμα μεταβολαῖς. πέντε οὖν ὄντων τῶν
both and even at-once changes five then being the
σωμάτων, πῦρ χρὴ φάναι καὶ ὕδωρ εἶναι καὶ τρίτον
bodies fire it-is-needful to-say and water to-be and third
ἀέρα, τέταρτον δὲ γῆν, πέμπτον δὲ αἰθέρα, τούτων
air fourth and earth fifth and ether of-these
δ' ἐν ἡγεμονίαις ἕκαστον ζῷον πολὺ καὶ παντοδαπὸν
and in dominions each animal much and manifold
ἀποτελεῖσθαι. μαθεῖν δὲ καθ' ἓν ὧδ' ἔστιν χρεών.
to-be-produced to-learn and by one thus it-is needful

γήινον μὲν τιθῶμεν τὸ πρῶτον ἡμῖν ἕν, πάντας μὲν 982
earthly indeed let-us-set the first for-us one all indeed
ἀνθρώπους, πάντα δὲ ὅσα πολύποδα καὶ ἄποδα, καὶ
humans all and as-many-as many-footed and footless and
ὅσα πορεύσιμα καὶ ὅσα μόνιμα, διειλημμένα ῥίζαις·
as-many-as able-to-move and as-many-as stationary held-by roots
τὸ δὲ ἓν αὐτοῦ τόδε νομίζειν δεῖ, ὡς πάντα μὲν
the but one of-it this to-consider it-is-needful that all indeed
ἐξ ἁπάντων ταῦτ' ἔστιν τῶν γενῶν, τὸ δὲ πολὺ τούτου
from all these are of-the kinds the but most of-this
γῆς ἐστιν καὶ τῆς στερεμνίας φύσεως. ἄλλο δὲ χρὴ
of-earth is and of-the solid nature other and it-is-needful
ζῴου γένος θεῖναι δεύτερον γιγνόμενον ἅμα καὶ δυνατὸν
of-animal kind to-set second coming-to-be at-once and able
ὁρᾶσθαι· τὸ γὰρ πλεῖστον πυρὸς ἔχει, ἔχει μὴν γῆς τε
to-be-seen the for most of-fire it-has it-has indeed of-earth both
καὶ ἀέρος, ἔχει δὲ καὶ ἁπάντων τῶν ἄλλων βραχέα μέρη,
and of-air it-has and also of-all the others small parts
διὸ δὴ ζῷά τε ἐξ αὐτῶν παντοδαπὰ γίγνεσθαι
wherefore indeed animals both from them manifold to-come-to-be
χρὴ φάναι καὶ ὁρώμενα, νομίσαι δὲ δὴ δεῖ πάλιν
it-is-needful to-say and visible to-consider and indeed it-is-needful again
τὰ κατ' οὐρανὸν ζῴων γένη, ὃ δὴ πᾶν χρὴ φάναι
the in heaven of-animals kinds which indeed all it-is-needful to-say
θεῖον γένος ἄστρων γεγονέναι, σώματος μὲν τυχὸν
divine kind of-stars to-have-become of-body indeed having-obtained
καλλίστου, ψυχῆς δ' εὐδαιμονεστάτης τε καὶ ἀρίστης.
finest of-soul and happiest both and best
δυοῖν δὲ αὐτοῖς μοιρῶν τὴν ἑτέραν χρὴ δόξῃ
of-two and to-them lots the one it-is-needful by-opinion
μεταδιδόναι σχεδόν· ἢ γὰρ ἀνώλεθρόν τε καὶ ἀθάνατον
to-assign nearly either for imperishable both and immortal

ἕκαστον αὐτῶν εἶναι καὶ θεῖον τὸ παράπαν ἐξ ἁπάσης
each of-them to-be and divine — altogether from all
ἀνάγκης, ἤ τινα μακραίωνα βίον ἔχειν ἱκανὸν ἑκάστῳ
necessity or some long-lived life to-have sufficient for-each
ζωῆς, ἧς οὐδέν τι πλείονος ἂν προσδεῖσθαί ποτε.
of-life of-which nothing at-all more — to-need-besides ever
b νοήσωμεν οὖν πρῶτον, ὃ λέγομεν, δύο τὰ τοιαῦτα εἶναι
let-us-consider then first what we-say two the such to-be
ζῷα — πάλιν γὰρ λέγωμεν — ὁρατὰ μὲν ἀμφότερα, τὸ
animals again for let-us-say visible indeed both the
μὲν ἐκ πυρός, ὡς δόξειεν ἄν, ὅλον, τὸ δ' ἐκ γῆς, καὶ
one from fire as would-seem — whole the other from earth and
τὸ μὲν γήινον ἐν ἀταξίᾳ, τὸ δ' ἐκ πυρὸς ἐν τάξει πάσῃ
the indeed earthly in disorder the and from fire in order all
κινούμενον. τὸ μὲν οὖν ἐν ἀταξίᾳ κινούμενον ἄφρον χρὴ
moving the indeed then in disorder moving senseless it-is-needful
νομίζειν, ὅπερ ὡς τὸ πολὺ δρᾷ τὸ περὶ ἡμᾶς ζῷον, τὸ
to-consider which-very for the most-part does the about us animal the
δὲ ἐν τάξει τε καὶ οὐρανῷ πόρον ἔχον μέγα τεκμήριον
but in order both and in-heaven course having great proof
χρὴ ποιεῖσθαι τοῦ φρόνιμον εἶναι· κατὰ ταὐτὰ γὰρ
it-is-needful to-make of-the prudent to-be according-to the-same for
ἂν καὶ ὡσαύτως πορευόμενον ἀεὶ καὶ ποιοῦν καὶ πάσχον
— and likewise going always both doing and suffering
τεκμήριον ἱκανὸν τοῦ φρονίμως ζῆν εἴη παρεχόμενον.
proof sufficient of-the prudently to-live would-be providing
ἡ ψυχῆς δὲ ἀνάγκη νοῦν κεκτημένης ἁπασῶν ἀναγκῶν
the of-soul and necessity mind having-acquired of-all necessities
πολὺ μεγίστη γίγνοιτ' ἄν — ἄρχουσα γὰρ ἀλλ' οὐκ
much greatest would-be — ruling for but not
ἀρχομένη νομοθετεῖ — τὸ δὲ ἀμετάστροφον, ὅταν ψυχὴ τὸ
ruled it-legislates the and irreversible when soul the

ἄριστον κατὰ τὸν ἄριστον βουλεύσηται νοῦν, τὸ τέλεον
best according-to the best deliberates mind the perfect
ἐκβαίνει τῷ ὄντι κατὰ νοῦν, καὶ οὐδὲ ἀδάμας ἂν
comes-out in-the reality according-to mind and not-even adamant —
αὐτοῦ κρεῖττον οὐδὲ ἀμεταστροφώτερον ἄν ποτε γένοιτο,
than-it stronger nor more-irreversible — ever would-become
ἀλλ᾽ ὄντως τρεῖς Μοῖραι κατέχουσαι φυλάττουσι τέλεον
but truly three Fates holding guard perfect
εἶναι τὸ βελτίστῃ βουλῇ βεβουλευμένον ἑκάστοις θεῶν.
to-be the by-best counsel having-been-deliberated for-each of-gods
τοῖς δὲ ἀνθρώποις ἐχρῆν τεκμήριον εἶναι τοῦ νοῦν d
for-the and humans it-was-needful proof to-be of-the mind
ἔχειν ἄστρα τε καὶ σύμπασαν ταύτην τὴν διαπορείαν,
to-have stars both and all-together this the going-through
ὅτι τὰ αὐτὰ ἀεὶ πράττει διὰ τὸ βεβουλευμένα
that the same-things always it-does because-of the having-been-deliberated
πάλαι πράττειν θαυμαστόν τινα χρόνον ὅσον, ἀλλ᾽
long-ago to-do wonderful some time as-much-as but
οὐ μεταβουλευόμενον ἄνω καὶ κάτω, τοτὲ μὲν
not re-deliberating up and down at-one-time indeed
ἕτερα, ἄλλοτε δὲ ἄλλα πρᾶττον, πλανᾶσθαί τε καὶ
other-things at-another and other-things doing to-wander both and
μετακυκλεῖσθαι. τοῦθ᾽ ἡμῶν τοῖς πολλοῖς αὐτὸ τοὐναντίον
to-circle-about this of-us to-the many itself the-opposite
ἔδοξεν, ὅτι τὰ αὐτὰ καὶ ὡσαύτως πράττει, ψυχὴν οὐκ
seemed that the same-things and likewise it-does soul not
ἔχειν· οὕτω τοῖς ἄφροσι συνεφέσπετο τὸ πλῆθος, ὡς τὸ
to-have so the senseless followed the multitude so-as the
μὲν ἀνθρώπινον ἔμφρον καὶ ζῶν ὡς κινούμενον ὑπολαβεῖν,
indeed human sensible and living as moving to-suppose
τὸ δὲ θεῖον ἄφρον ὡς μένον ἐν ταῖς αὐταῖς φοραῖς·
the but divine senseless as remaining in the same motions

ἐξῆν δὲ ἀνθρώπῳ γε ἐπὶ τὰ καλλίω καὶ βελτίω
it-was-possible and for-a-human at-least toward the finer and better
καὶ φίλα τιθεμένῳ λαμβάνειν ὡς διὰ τοῦτο αὐτὸ
and dear placing to-take that because-of this itself
ἔμφρον δεῖ νομίζειν τὸ κατὰ ταὐτὰ καὶ ὡσαύτως
sensible it-is-needful to-consider the according-to the-same and likewise
καὶ διὰ ταὐτὰ πρᾶττον ἀεί, τοῦτο δ' εἶναι τὴν
and because-of the-same-things doing always this and to-be the
τῶν ἄστρων φύσιν, ἰδεῖν μὲν καλλίστην, πορείαν δὲ καὶ
of-the stars nature to-see indeed finest course but and
χορείαν πάντων χορῶν καλλίστην καὶ μεγαλοπρεπεστάτην
dance of-all dances finest and most-magnificent
χορεύοντα πᾶσι τοῖς ζῶσι τὸ δέον ἀποτελεῖν.
dancing for-all the living the needful to-accomplish

V · GODS, DAEMONS, AND MEN

The stars are immense, and only a god could move such masses always in the same time; so they are gods, or images of gods honored above all statues. Between them and mortal earthly creatures are beings of ether, air, and water. Zeus, Hera, and the rest may be honored as custom has it, but the stars are the greatest gods, and after them the airy daemons, interpreters, are honored with prayers.

983 ΑΤΗ. καὶ μὴν ὅτι γε δικαίως ἔμψυχα αὐτὰ λέγομεν,
and indeed that at-least justly ensouled them we-call
πρῶτον τὸ μέγεθος αὐτῶν διανοηθῶμεν. οὐ γάρ, ὡς σμικρὰ
first the size of-them let-us-consider not for as small
φαντάζεται, τηλικαῦτα ὄντως ἐστίν, ἀλλ' ἀμήχανον ἕκαστον
they-appear so-great truly they-are but immense each
αὐτῶν τὸν ὄγκον — πιστεῦσαι δ' ἄξιον· ἀποδείξεσιν γὰρ
of-them the bulk to-believe and worthy by-demonstrations for

ἱκαναῖς λαμβάνεται — τὸν γὰρ ἥλιον ὅλον τῆς γῆς
sufficient it-is-grasped the for sun whole than-the earth
ὅλης μείζω διανοηθῆναι δυνατὸν ὀρθῶς, καὶ πάντα δὴ
whole greater to-conceive possible rightly and all indeed
τὰ φερόμενα ἄστρα θαυμαστόν τι μέγεθος ἔχει. λάβωμεν
the moving stars wonderful some size have let-us-grasp
δὴ τίς τρόπος ἂν εἴη τοσοῦτον περιφέρειν ὄγκον τινὰ
indeed what way — would-be so-great to-carry-round bulk some
φύσιν τὸν αὐτὸν ἀεὶ χρόνον, ὅσον καὶ νῦν περιφέρεται.
nature the same always time as-much-as also now it-is-carried-round
θεὸν δή φημι τὸν αἴτιον ἔσεσθαι, καὶ οὔποθ' ἑτέρως
god indeed I-say the cause to-be and never otherwise
εἶναι δυνατόν· ἔμψυχον μὲν γὰρ οὔποτε γένοιτ' ἂν
to-be possible ensouled indeed for never could-it-become —
ἑτέρᾳ πλὴν διὰ θεόν, ὡς ἡμεῖς ἀπεφηνάμεθα. ὅτε δὲ
by-other except through god as we declared when and
τοῦτο οἷός τέ ἐστιν θεός, ἅπασα αὐτῷ ῥᾳστώνη γέγονεν
this able — is god all to-him ease has-come-about
τοῦ πρῶτον μὲν ζῷον γεγονέναι πᾶν σῶμα καὶ ὄγκον
of-the first indeed animal to-have-become every body and bulk
σύμπαντα, ἔπειτα, ᾗπερ ἂν διανοηθῇ βέλτιστα, ταύτῃ
all-together then in-whatever-way — he-thinks best in-this-way
φέρειν. νῦν δὴ περὶ ἁπάντων τούτων ἕνα λόγον λέγοιμεν
to-carry now indeed about all these one account may-we-say
ἀληθῆ· οὐκ ἔστιν γῆν τε καὶ οὐρανὸν ἅπαντάς τε ἀστέρας
true not it-is earth both and heaven all both stars
ὄγκους τε ἐκ τούτων σύμπαντας, μὴ ψυχῆς πρὸς ἑκάστῳ
bulks both from these all-together not soul beside each
γενομένης ἢ καὶ ἐν ἑκάστοις, εἶτα εἰς ἀκρίβειαν κατ'
having-come or also in each then to exactness by

ἐνιαυτὸν οὕτω πορεύεσθαι κατὰ μῆνάς τε καὶ ἡμέρας, καὶ
year so to-go by months both and days and
σύμπαντα τὰ γιγνόμενα σύμπασιν ἡμῖν ἀγαθὰ γίγνεσθαι.
all-together the things-happening for-all-together us goods to-happen
d δεῖ δέ, ὅσῳ φλαυρότερόν ἐστ᾽ ἄνθρωπος, μή τοι
it-is-needful and by-as-much-as inferior is a-man not surely
ληροῦντά γε, σαφῶς δέ τι λέγοντα φαίνεσθαι. ῥύμας
talking-nonsense at-least clearly but something saying to-appear impulses
μὲν οὖν εἴ τις αἰτίας τινὰς ἐρεῖ σωμάτων ἢ φύσεις
indeed then if anyone causes some will-tell of-bodies or natures
ἤ τι τοιοῦτον, οὐδὲν σαφὲς ἐρεῖ· τὸ δὲ παρ᾽ ἡμῶν
or anything such nothing clear will-he-tell the but by us
εἰρημένον σφόδρ᾽ ἀναλαβεῖν χρή, πότερον ἔχει λόγον ὁ
said greatly to-take-up it-is-needful whether has reason the
λόγος ἢ πάντως ὑστερεῖ, τὸ πρῶτον μὲν τὰ ὄντα εἶναι
account or in-every-way falls-short the first indeed the beings to-be
δύο, τὸ μὲν ψυχήν, τὸ δὲ σῶμα, καὶ πολλὰ ἑκατέρου,
two the one soul the other body and many of-each
πάντα δὲ ἀλλήλων ἄλλα καὶ ἑκάτερα ἑκατέρων, καὶ
all and from-one-another other and each from-each and
τρίτον ἄλλο οὐδὲν κοινὸν οὐδενί, διαφέρειν δὲ ψυχὴν
third other nothing common to-nothing to-differ and soul
σώματος. ἔμφρον μέν που, τὸ δὲ ἄφρον θήσομεν, ἄρχον
